εἴτε ἐξωτικοὶ τύχοιεν. ὅπερ μάλιστα ἐπὶ μηδενὸς συμβαίνει, εἴτε διατάθοιντο εἰς τὰς αὐτῶν περιουσίας, εἴτε καὶ ἀδιάθετοι τελευτήσαιεν. καὶ τοῦτο δὲ ἡμεῖς ἐγράψαμεν ἡμετέρῳ νόμῳ, μεμνημένοι τε αὐτοῦ καὶ ἐξευρόντες πρῶτοι, καὶ φιλανθρώπως νομοθετήσαντες, ὥστε κἀνταῦθα εἴπερ ἐκποιήσειεν ὁ γονεὺς πρὶν εἰς δευτέρους ἀφικέσθαι γάμους, εἶτα τελευτήσειε τῶν παίδων εἷς, κατὰ τοσοῦτον ἔρρωται μόνον τὰ ἐκποιηθέντα, καθ' ὅσον εἰς τὸν ἐκποιήσαντα κατὰ τὸ ἐξ ἀπαιδίας περιέρχεται σύμφωνον. ἐπείτοιγε κατὰ τὰ ἄλλα μέρη ὁπόσα εἰς τοὺς τοῦ παιδὸς κληρονόμους χωρεῖ, πάντως ἄκυρον ἔσται. ὥστε ἐκποιήσεως γινομένης, μένει τὸ πρᾶγμα ἐν μετεώρῳ, ταῖς ἐφεξῆς συμμεταβαλλόμενον τύχαις, καὶ ἢ τελείως ἐξ ἀρχῆς ἀκυρουμένης τῆς ἐκποιήσεως, ἢ τελείως ἰσχυούσης, ἢ κατὰ μέρος μὲν ἀκυρουμένης, κατὰ μέρος δὲ ἱσταμένης. καὶ ἐπὶ τούτων γε δὴ τῶν κερδῶν, ὅσα πρὸς τοὺς δευτέρους ἐρχομένων γάμους τῶν γονέων λαμβάνουσιν οἱ παῖδες, οὐ περιεργαζόμεθα πότερον κληρονομοῦσιν ἢ τοῦ προτελευτήσαντος γονέως, ἢ τοῦ δευτέρου τελευτῶντος· οὐδὲ εἴ τινες μὲν κληρονομοῦσι, τινὲς δὲ οὐχί· ἀλλά, καθάπερ ἔμπροσθεν εἴπομεν, γέρας αὐτοῖς διδόμενον τοῦτο ἐξ ἴσου λήψονται αὐτοὶ μὲν περιόντες, σὺν αὐτοῖς δὲ καὶ οἱ τοῦ τελευτήσαντος παῖδες, τὸ τοῦ γεγεννηκότος λαμβάνοντες μέρος. πανταχοῦ μέντοι τὸ τῆς ἀχαριστίας, καθὰ καὶ ἔμπροσθεν εἴπομεν, ἐμποδὼν πρὸς τὸ τοιοῦτο κέρδος ἱσταμένης τῷ τοιούτῳ παιδί. τοὺς γὰρ κατὰ τῶν ἀχαρίστων κειμένους οὐχ ὑπερβαινομένους νόμους, ταύτῃ καὶ τοὺς γονεῖς τιμῶντες, καὶ τοὺς παῖδας εἰς εὐσέβειαν ἄγοντες. ὥσπερ γὰρ τὰ τῆς ἐπιλογῆς ἐκωλύσαμεν, καὶ πᾶσιν δίδομεν ὁμοίως τὰ τοιαῦτα γέρα, οὕτω τὸ τῆς ἀχαριστίας οὐκ ἀναιροῦμεν. πρόδηλον γε ὡς ἀχάριστον προσήκει νοεῖν τὸν ἢ περὶ ἀμφοτέρους τοὺς γονέας, ἢ πάντως περὶ τὸν ὕστερον τελευτῶντα γενέσθαι φανερῶς ἀποδεικνύμενον. ἄριστα δὲ ἡμῖν Λέων ὁ τῆς θείας λήξεως δοκεῖ σκέψασθαι τὰ περὶ τῶν ἐπιδόσεων, ὧν εἰς τὰ δεύτερα ποιοῦνται συνοικέσια οἱ ταῦτα συμβάλλοντες· φησὶ γὰρ ὡς εἴπερ ἐκ τοῦ προτέρου γάμου παῖδας ἔχοιεν οἱ γονεῖς, εἶτα εἰς δεύτερον ἢ καὶ ἐφεξῆς χωροῖεν συνοικέσιον, οὐ δύνανται οὔτε εἰς τὴν μητρυιὰν οἱ πατέρες, οὔτε εἰς τὸν πατρωὸν αἱ μητέρες, κατὰ τὸν τῆς ζωῆς χρόνον, τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν, ἢ ἐν τελευτῇ τι καταλιμπάνειν· πλέον ἢ τοσοῦτον, ὅσον ὁ εἷς παῖς, ἢ θυγάτηρ, μόνος ὤν, ἐκ τοῦ φύσαντος ἔχει. εἰ δὲ πολλοὶ παῖδες εἶεν, καὶ ἕκαστος ἴσον ἔχοι μέρος, οὐ πλέον τοῦ εἰς ἕκαστον ἀφικνουμένου ἢ ὁ πατρωὸς ἢ ἡ μητρυιὰ παραλήψονται. εἰ δὲ ἄνισα τὰ καταλελειμμένα τυγχάνοι, τοσοῦτον ἀνάγκη μόνον εἰς τὴν μητρυιὰν ἢ τὸν πατρωὸν ἔρχεσθαι ἐξ οἱασδήποτε φιλοτιμίας τοῦ γονέως, εἰς ὅσον ὁ τὸ ἔλαττον ἔχων παῖς ἐκ τῆς ἐκείνου περιουσίας λαμβάνει, ἢ ἀπὸ τελευταίας βουλήσεως καταλειφθέν, ἢ καὶ ἐν ζωῇ δεδομένον. δηλαδὴ τῆς πρώην τετάρτης, νυνὶ δὲ τρίτης, ἢ ἡμισείας, κατὰ τὸν ἡμέτερον νόμον, μοίρας πάντως τῷ παιδὶ καταλιμπανομένης, ἢ διδομένης· εἰ μὴ πάλιν ὁ τῆς ἀχαριστίας ἐναντιῷτο λόγος. ταὐτοῦ τούτου φυλαττομένου καὶ ἐπὶ πάππου καὶ μάμμης, καὶ προπάππου καὶ προμάμμης, καὶ ἐγγόνων ἀρρένων ἢ θηλειῶν, καὶ προεγγόνων ὁμοίως, εἴτε ὑπεξούσιοι τυχὸν εἴτε ἐμαγκιπάτοι καθεστήκοιεν, ἐκ τῆς πατρῴας ἢ μητρῴας κατιόντες σειρᾶς. καὶ τοῦτο διορίσας, ὀρθῶς ἐπήγαγεν, ὅτι τὸ πλέον τοῦ καταλειφθέντος ἢ δοθέντος ὅλως, ἢ τῇ μητρυιᾷ ἢ τῷ πατρωῷ, ὡσανεὶ μήτε γραφέν, μήτε καταλειφθέν, ἢ δοθὲν ἢ δωρηθέν, ἁρμόσει τοῖς παισί, καὶ μεταξὺ τούτων μόνων ἐξ ἴσης διαιρεθήσεται. τὸ γὰρ δεῖν καὶ τοὺς ἐκ τοῦ δευτέρου γάμου παῖδας μετέχειν καὶ τούτων, γέγραπται μὲν ἐπί τινος διατάξεως, οὐ μὴν

Universidad Carlos III de Madrid. Biblioteca

καὶ νῦν ἡμῖν ἀρέσκει· ἀλλὰ τοῖς ἐκ τοῦ προτέρου γάμου παισί, δι' οὓς καὶ παρατετήρηται, διδόσθω μόνοις, οὐδεμιᾶς μηχανῆς οὔτε δι' ὑποβολιμαίων προσώπων οὔτε κατ' ἄλλην αἰτίαν περιλαμβάνεσθαι δυναμένης. τοῦτο δὲ τὸ πλεῖστον διαιρήσονται πρὸς ἀλλήλους οἱ κεχαριτωμένοι παῖδες τοῖς γονεῦσιν, οὐχ οἱ ἀχάριστοι περὶ τούτους δεικνύμενοι, καὶ ἀχαριστίας τοιαύτης ὑπεύθυνοι καθεστῶτες ὁποίαν οἱ νόμοι ζητοῦσι. τοὺς γὰρ τοιούτους καὶ τῆς ἐντεῦθεν ὠφελείας ἀφαιρούμεθα, μήποτε τῆς ἐλπίδος ἀποφαινομένης τῆς ἐντεῦθεν κτήσεως, κατὰ τῶν γονέων χωροῖεν καὶ θρασύνοιντο, καὶ τοὺς τῆς φύσεως ἀτιμάζοιεν νόμους. πρόδηλον δὲ ὡς κἀνταῦθα, εἴ τις τούτων τελευτήσειεν εἰς οὓς τὸ πλεῖστον ἐφέρετο, παίδων ὑπόντων, οἱ τοῦ τελευτήσαντος παῖδες τοῦτο λήψονται, κατὰ μὲν τὸ οἰκεῖον πλῆθος, πρὸς δὲ τὸ τοῦ τελευτήσαντος μέρος. ἐπειδὴ δὲ τοῖς μέχρι νῦν νόμοις ἀδιάκριτόν ἐστι πότε προσήκει τὸ πλεῖστον θεωρεῖν, ἆρα κατὰ τὸν τῆς ἐπιδόσεως καιρὸν, ἢ κατὰ τὸν τῆς τοῦ γάμου διαλύσεως, κράτιστον ἡμῖν ἔδοξεν εἶναι τὸν τῆς τελευτῆς τοῦ δευτερογαμήσαντος γονέως παρατηρεῖν καιρόν. γράφουσι μὲν γὰρ ἄνθρωποι καὶ ὧν ἔχουσι πλείονα, γράφουσι δὲ καὶ ἐλάττονα· αἱ δὲ ἐπισυμβαίνουσαι τύχαι τὰς ἐναντίας ἐκβάσεις ὡς ἐπίπαν ἐργάζονται. ὥστε, ἵνα μὴ περὶ ταῦτα πλανώμεθα, τὸν καιρὸν ἐκεῖνον σκεπτέον καθ' ὃν ὁ δευτερογαμήσας τελευτᾷ, καὶ τὴν ἀναλογίαν τὴν ἐκεῖθεν ληπτέον, καὶ πρὸς ἐκείνην τὸ πλεῖον σκοποῦντας, ἀφαιρεῖσθαι τὸ ὑπερβαῖνον προσήκει, καὶ τοῖς παισὶ προσνέμειν· ἐπὶ πᾶσι τοῖς τοιούτοις οὐ τῆς ἐξ ἀρχῆς δόσεως ἢ γραφῆς θεωρουμένης, ἀλλὰ τοῦ καλουμένου eventu σκοπουμένου. Ἀλλ' οὐδὲ ἐκεῖνο ἡμῖν παραλειπτέον, ὅπερ ὀρθῶς ἔχειν Θεοδόσιος ὁ τῆς εὐσεβοῦς λήξεως ὁ νέος διετάξατο, φήσας ὅτι περ ἐὰν γυνὴ παιδοποιησαμένη πρὸς δεύτερον ἔλθοι γάμον, κἀκεῖθεν αὐτῇ γένοιντο παῖδες ἕτεροι, εἶτα καὶ ὁ δεύτερος ἀνὴρ τελευτήσειε, τὰ μὲν αὐτῆς οἰκεῖα πράγματα οἱ ἐξ ἀμφοτέρων τῶν γάμων παραλήψονται παῖδες, ἀδιαθέτου δὲ τῆς μητρὸς τελευτώσης, ἐξ ἴσης καὶ ὁμοιοτάτης διανεμήσεως ἔσται. τὴν μέντοι πρὸ γάμου δωρεὰν ἑκατέρα γονὴ τὴν τοῦ οἰκείου λήψεται πατρός· καὶ ἐξ ὁλοκλήρου μὲν οἱ τοῦ προτέρου γάμου παῖδες τὴν ἐκείνου κερδανοῦσι δωρεὰν, ἐξ ὁλοκλήρου δὲ οἱ ἐκ τῶν δευτέρων φύντες σπερμάτων, τῆς παρ' ἐκείνου γενομένης ἀπολαύσουσι φιλοτιμίας· κἂν εἰ μὴ πρὸς τρίτον συνοικέσιον ἦλθεν. τί γὰρ τοῦτο τοὺς προτέρους ὀνήσει; τί δὲ βασκαίνουσιν οἱ πρότεροι παῖδες τοῖς δευτέροις, εἰ μὴ κἀκεῖνοι τρίτοις ὑβρίσθησαν γάμοις; καὶ ἁπλῶς ἑκάστη γονὴ τὴν τοῦ οἰκείου γονέως λαμβανέτω προγαμιαίαν δωρεάν· καὶ ὅλως, τῶν πρώτων παίδων διὰ τὴν δευτερογαμίαν λαβόντων, οἱ δεύτεροι πάντως αὐτὴν ἐχέτωσαν, κἂν εἰ μὴ τρίτοις ὡμίλησεν ἡ δευτερογαμήσασα γάμοις· ὥστε μὴ δοκεῖν κατὰ τοῦτο τὸν ἀδελφῶν ἐλαττοῦσθαι. Ἐκ δὲ τῆς τῶν πραγμάτων ἀκολουθίας, ταυτὸ καὶ ἐπὶ πατέρων ἔστω δευτερογαμούντων, καὶ φυλαττέσθω τοῖς μὲν ἐκ τοῦ προτέρου γάμου παισί, διὰ τὴν δευτερογαμίαν, ἡ κερδανθεῖσα προὶξ, τοῖς δὲ δευτέροις τὰ ἐκ τῶν δευτέρων. κἂν εἰ μὴ πρὸς τρίτους ὁ πατὴρ ἀφίκετο γάμους. τὰ δέ γε λοιπὰ ὁπόσα ἐπὶ τῶν τοιούτων ἐκέρδαινεν ἢ ὁ πατὴρ, ἢ ἡ μήτηρ, ἐκ τῆς δευτερογαμίας, ἢ κατὰ λεγάτον τυχὸν, ἢ φιδεϊκόμμισσον, οὐ μὴν εἰς τρίτους ἐληλύθασι γάμους, ταῦτα συναναχεθέντα τῇ αὐτῶν ἐξουσίᾳ, καὶ ὑπὸ τρίτων οὐ σαλευθέντα γάμων, μενέτω περὶ αὐτοῖς ἀκίνητα, καὶ εἰς τὰς αὐτῶν, ὡς οἰκεῖα, διαδοχὰς ἀφικνείσθω, καὶ παρὰ τῶν ἀξιούντων ὃν βούλονται διοικείσθω τρόπον. ἐπειδὴ δὲ τὰ κέρδη πανταχοῦ κατὰ τὴν τοῦ λόγου συνέχειαν εἰς τὰς ἀπὸ τελευτῆς διαζεύξεις

Universidad Carlos III de Madrid. Biblioteca

ἐνομοθετήσαμεν, βραχεῖ τινι λόγῳ κἀκεῖνο προστίθεμεν, ὡς ὁπόσα κερδαίνοιεν οἱ γονεῖς, ῥεπουδίῳ διαλυθέντος τοῦ γάμου, εἴτε bona gratia σταλέντος, εἴτε καὶ ἄλλως, εἴτε κατὰ προικός, εἴτε κατὰ προγαμιαίας δωρεᾶς πρόφασιν, ταῦτα κατὰ μίμησιν τῶν ἀπὸ τελευτῆς κερδῶν ἅπαντα φυλαττέσθω τοῖς παισί. τούτου τοίνυν φυλαττομένου καὶ ἐπὶ τῶν ἀπροίκων γαμετῶν, ἔνθα ἡ παρ' ἡμῶν τεθεῖσα διάταξις τὸ προπετὲς αὐτῶν ἐτιμωρήσατο. καὶ οὐ διαφερόμεθα παρὰ τίνος αἰτίαν ὁ γάμος τῷ ῥεπουδίῳ διαλέλυται. ὁπωσδήποτε γὰρ ἂν ἔχοι τὸ πρᾶγμα, φυλάττεται καὶ ἐπ' ἐκείνων τὸ κερδανθὲν τοῖς ἐκ τῶν γάμων ἐκείνων παισὶν ἐξ ὧν προῆλθον οἱ παῖδες· εἴτε οἱ πρῶτοι διελύθησαν γάμοι ῥεπουδίῳ, εἴτε καὶ οἱ δεύτεροι· κἂν εἰ τρίτος ἐκ ἠκολούθησε γάμος. Τὰ δὲ περὶ αὐξήσεων ἢ μειώσεων προικῶν ἢ προγαμιαίων δωρεῶν, εἴρηται μὲν τισὶ τῶν ἔμπροσθεν νόμων· ἡμῖν δὲ ἐξείργασται τελεώτερον, οἵ γε καὶ συνεστώτων τῶν γάμων τὰς διὰ τῶν γάμων δωρεὰς οὐκ αὔξεσθαι μόνον, ἀλλὰ καὶ ἐξ ἀρχῆς δίδοσθαι προσετάξαμεν· καὶ ὥσπερ αὔξεσθαι συνεχωρήσαμεν, οὕτω καὶ μειοῦσθαι τῶν συνελθόντων βουλομένων ἐφήκαμεν. ἀλλὰ τοῦτο (τὸ τῆς μειώσεως φαμὲν) εἰ δεύτερος γένοιτο γάμος, οὐκ ἐφήσομεν (ἵνα μή τι τῇ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως προσκρούσωμεν διατάξει) ἡνίκα παῖδες ἐκ τοῦ προτέρου γένοιντο γάμου. εἰ γὰρ ἄμετρον ἐπιδοίη τὴν προῖκα ἢ τὴν προγαμιαίαν δωρεὰν ὁ γονεύς, ἢ ἕτερόν τι φιλοτιμήσαιτο, εἶτα συναισθόμενος ποῖ φέρεται τὰ τοῦ νόμου, συστείλειε τὸ γενόμενον, καὶ ἐλαττώσειε τὴν προῖκα ἢ τὴν προγαμιαίαν δωρεάν, οὐκ ἔτι κέρδος ἔσται τοῖς παισὶ τὸ δοθέν, ἀλλ' ἐξέσται κερδαίνειν ἢ τῷ πατρῴῳ ἢ τῇ μητρυιᾷ, τῶν παίδων κατὰ τοῦτο ἀδικουμένων. εἰ δὲ μόνον οὐσούφρουκτον πραγμάτων ἢ ὁ ἀνὴρ τῇ γαμετῇ, ἢ ἡ συνοικοῦσα τῷ γήμαντι κατὰ τελευταίαν δοίη βούλησιν, ὁ μὲν πρὸ ἡμῶν ἔλεγε νόμος, εἰ πρὸς δευτέρους ἀφίκοιντο γάμους ἢ ὁ πατὴρ ἢ ἡ μήτηρ, αὐτίκα τῆς καταλειφθείσης χρήσεως ἐκπίπτειν, ὥσπερ πρότερον ἐξέπιπτον τῆς δεσποτείας, καὶ παραχρῆμα τοῖς παισὶν αὐτὴν ἀποκαθίστασθαι· εἰ δὲ ἄνηβοι τυχὸν οἱ παῖδες εἶεν, καὶ μετὰ τῶν ἐμμέσων καρπῶν. τοῦτο γὰρ ἐδόκει τῷ νόμῳ· ἡμῖν δὲ οὐ σφόδρα τοῦτο ἤρεσεν, ἀλλὰ βουλόμεθα, κἂν ἡ χρῆσις δοθείη, εἴτε κατὰ φιλοτιμίαν τῆς mortis causa δωρεᾶς γενομένης, ἢ καὶ inter viuos, ἐν οἷς ἔξεστι καὶ δωρεῖσθαι, καταλειφθείη, καὶ ὁ λαβὼν εἰς δευτέρους ἀφίκοιτο γάμους· μένειν καὶ οὕτω τὴν χρῆσιν ἄχρις οὗ περίεστιν ὁ τοῦτον ἔχων τὸν οὐσούφρουκτον. εἰ μὴ ῥητῶς αὐτὸς ὁ τὴν δωρεάν, ὡς εἴρηται, πεποιημένος, εἴτε ὁ τοῦτον καταλιπών, εἴτε ἄρρην, εἴτε θήλεια, φήσοι βούλεσθαι, πρὸς δευτέρους ἀφικνουμένου γάμους τοῦ τὸν οὐσούφρουκτον λαβόντος, λύεσθαί τε αὐτὸν καὶ πρὸς τὴν οἰκείαν ἐπαναστρέφειν δεσποτείαν. ἀλλὰ ταῦτα μὲν περὶ τῶν κατὰ φιλοτιμίαν δεδομένων φαμέν. εἰ μέντοι ἐν προικὶ ἢ προγαμιαίᾳ δωρεᾷ πραγμάτων οὐσούφρουκτος δοθείη, οὐδὲν παντελῶς καινίζομεν, ἀλλὰ τὰ ἤδη νενομοθετημένα κρατείτω, καὶ μενέτω παρὰ τοῖς εἰληφόσιν, ἄχρις οὗ περιῶσιν· κἂν εἰ μυριάκις ἐναντίον τι βουληθεῖεν οἱ τελευτήσαντες. τὸ γὰρ ἐκ τοῦ νόμου δεδομένον κέρδος ἰδιώτης ἀφελέσθαι παντάπασιν οὐκ ἰσχύει. Ἐπειδὴ δὲ ὅλως εἰς μνήμην τῶν περὶ τοῦ οὐσουφρούκτου νόμων ἀφικόμεθα, κἀκεῖνο προσαναμίξαι τῷ νόμῳ καλόν, ὅπερ τισὶν ἔμπροσθεν εἴρηται διατάξεσιν, ὡς πάντων ὁ πατὴρ τῶν εἰς τοὺς παῖδας ἀφικνουμένων, εἴτε ἐκ μητρῴας σειρᾶς, εἴτε ἐκ γαμικῆς τῶν παίδων αἰτίας, εἴτε ἀλλαχόθεν, τὸν οὐσούφρουκτον ἔχει, κἂν εἰ πρὸς δευτέρους ἔλθοι γάμους. τὴν γὰρ χρῆσιν αὐτῷ, ἄχρις οὗ περίεστι, μένειν ἀδιάσπαστον καὶ οἱ πρὸ ἡμῶν ἅπαντες βού-

λονται

Universidad Carlos III de Madrid. Biblioteca

λεύουσι νόμοι, καὶ ἐπὶ τοῖς μητρῴοις, καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι· καὶ ἡμεῖς σύμφαμεν. ὁ δὲ τῶν castrensium & quasi castrensium peculiorũ ἐξῃρήσθω λόγος. μήτηρ μέντοι δωρησαμένη τι τῷ παιδὶ τῶν οἰκείων, εἴπερ εἰς δευτέρους ἔλθοι γάμους, οὐκ ἂν δύναιτο κατὰ πρόφασιν ἀχαριστίας τὸ δεδομένον ἀνατρέπειν. οὐ γὰρ ἐκ καθαρᾶς δοκεῖ γνώμης τὴν ἀχαριστίαν εἰσάγειν, ἀλλὰ τὸν δεύτερον γάμον ἐννοοῦσα, ἐπὶ ταύτην ἐλθεῖν τὴν σκῆψιν περιείληπται. πλὴν εἰ μὴ καθαρῶς ὁ παῖς ἢ περὶ τὴν ζωὴν αὐτὴν ἐπιβουλεύων τῇ μητρὶ, ἢ χεῖρας ἐπιβάλλων ἀσεβεῖς, ἢ περὶ τὴν τῆς οὐσίας ὅλης ἀφαίρεσιν πράττων τι κατ᾽ αὐτῆς ἀποδείκνυοιτο. οὐ μὴν συγχωροῦμεν ταῖς γυναιξὶ πρὸς δευτέρους ἀφικνουμέναις γάμους, ἔτι βούλεσθαι ταῖς τῶν προτέρων συνοικησάντων ἀξίαις ἢ προνομίοις χρῆσθαι· ἀλλ᾽ εἰς οἷον ἂν μετὰ τὸν πρότερον ἀφίκοιντο γάμον, ἐκείνου στεργέτωσαν τὴν τύχην. ἣν γὰρ τὴν ἔμπροσθεν ἐπιλελησμένη, οὐκ ἂν αὖθις ἐκ τῶν ἔμπροσθεν βοηθοῖτο. Χαίρειν δὲ κἀκεῖνο καὶ οὐδὲ εὐσεβείας ἔξω τοῦ τῆς θείας λήξεως Ἀλεξάνδρου, πρὸς πολλοῖς ἑτέροις τῶν ἀρχαίων νομοθετῶν, διώρισται· ὥστε εἴ τις ἐλευθερώσειε θεράπαιναν, εἶτα ἀγάγοιτο αὐτὴν γαμετὴν, ἡ δὲ, ὡς ἔοικεν, ὑπερμαζῶσά τε καὶ τρυφῶσα, διαλύσειε τὸ πρὸς τὸν ἐλευθερωτὴν συνοικέσιον, οὐκ ἐφίησιν ὁ νόμος πρὸς δευτέρους γάμους ἐλθεῖν, ἄκοντος τοῦ πρότερον γήμαντος, ἀλλὰ τὸν ἐφεξῆς γάμον πορνείαν ἡγεῖται καὶ φθορὰν, ἀλλ᾽ οὐ γάμον, οὐδὲ συνάφειαν· ἐξ ἧς ὕβρεις οὐκ εὐπρεπὴς τῷ τὴν ἐλευθερίαν ἐπιθέντι προσγίνεται. Ταύτης δὲ δὴ βασιλέως κἀκεῖνο εὑρόντες ἄξιον τὸ ἑαυτῶν ἡγησάμεθα μέρος ποιήσασθαι νομοθεσίας, ὡς ἐπειδὴ πάντων ἡ μήτηρ ἀξιοπιστοτέρα πρὸς τὴν τῶν παίδων ἀναγωγὴν ἐδόκει, δίδωσιν αὐτῇ καὶ τοῦτο ὁ νόμος, εἰ μὴ πρὸς δευτέρους φοιτήσειε γάμους. Τὰς δὲ δὴ προῖκας ἃς ἂν λάβοιεν οἱ συνοικοῦντες, οὐ δώσουσι προχείρως ταῖς γυναιξὶ, συνεστώτων ἔτι τῶν συνοικεσίων· πλὴν ἐξ αἰτιῶν ἃς ὁ νόμος ἠρίθμησεν. ἐπείτοιγε εἴ τι τοιοῦτο πράξαιεν, μίμησις δωρεᾶς τὸ γινόμενον αὐτόθεν εἶναι δοκεῖ, καὶ εἰ τελευτήσειεν ἡ γυνὴ, καὶ ἀναλήψονται τὰς προῖκας οἱ δεδωκότες αὐτὰς ἀώρως ταῖς γυναιξὶν ἄνδρες παρὰ τῶν κληρονόμων τῶν γυναικῶν, μετὰ τῶν ἐν μέσῳ καρπῶν, αὐτοί τε καὶ κληρονόμοι αὐτῶν· καὶ ἕξουσιν εἰς κέρδος κατὰ τὸ συμπεφωνημένον. καὶ εἰ πρὸς δευτέρους ἀφίκοιντο γάμους οἱ ἄνδρες, φυλάξουσιν ἀνεκποίητα ταῦτα τοῖς παισὶν, τοῦτο δὴ τὸ καθ᾽ ὅλου διατεταγμένον. εἰ μέντοι μὴ τύχοιεν λαβόντες οἱ συνοικοῦντες τὰς προῖκας, ἔτι συνεστῶτος τοῦ συνοικεσίου, καὶ μετὰ τελευτὴν αὐτὰς τῶν γαμετῶν, κατὰ τὸν νόμον, ἐκ τῶν ἐκείνων λήψονται κληρονόμων, καθάπερ ἡ γραφὴ βούλεται τοῦ προικῴου. Εἰ δὲ ἐπιτροπεύοι γυνὴ τῶν παίδων, προδήλων ὡς ἀνήβων καθεστώτων, διομοσαμένη μὴ πρὸς δεύτερον ἔρχεσθαι γάμον, εἶτα καταφρονήσασα καὶ τῆς προτέρας εὐνῆς, καὶ τῶν ὅρκων, εἰς ἀνδρὸς ἔλθοι δευτέρου, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παραδεδομένη, καὶ καταβαλοῦσα πᾶν ὅσον ἐντεῦθεν ὀφείλει, οὐ μόνον τὰ αὐτῆς ὑποθήκην ἔχειν ὁ νόμος συγχωρεῖ τοῖς παισὶν, ἀλλὰ καὶ τὴν τοῦ γήμαντος οὐσίαν ὑπάγει ταῖς ὑποθήκαις, αὐτῇ τε ἀπαγορεύει τὴν τοῦ παιδὸς διαδοχὴν, ἀνήβου τελευτῶντος, εἰ καὶ ἐξ ὑποκαταστάσεως ὁ πατὴρ αὐτὴν ἤγαγεν πρὸς τὴν τοῦ παιδὸς εἴποι διαδοχήν. Ἀλλὰ ταῦτα μὲν οἱ πρὸ ἡμῶν. ἡμεῖς δὲ θαυμάζομεν εἰ γυναῖκα οὕτως ἀσεβῆ καθεστῶσαν ὡς καὶ αὐτόθεν ὅρκων ἀμνημονῆσαι, καὶ οὕτω πρὸς ἄλλον γάμον ἐλθεῖν, τελῶν τῶν μεγίστων ἀμνημονοῦσαν, θεοῦ τε, καὶ τῆς τοῦ τελευτήσαντος μνήμης, καὶ τῆς τῶν παίδων στοργῆς, οὕτως ὀλίγαις ὑπέβαλον ποιναῖς· καὶ τὴν μὲν πρὸ τοῦ πενθίμου γημαμένην χρόνου, καὶ οὐδὲ πάντως μητέρα παίδων καθεστῶσαν, τιμωροῦνται πικρῶς· ἀλλὰ κἂν εἰ παῖδας οὐκ ἔχοι, διὰ μόνην τὴν



Universidad Carlos III de Madrid. Biblioteca

σεμνότητα ταῦτα πράττοντες, γυναῖκα δὲ οὕτως ἐκκεχυμένην ἐπιθυμίαις, οὐ ταῖς αὐταῖς γοῦν ὑπεβάλλομεν ποιναῖς, ὁποίας ὑπομένουσιν αἱ περὶ τὸν πένθιμον χρόνον εἰς ἑτέρου συνοικέσιον ἀποκλίνασαι. ὥστε νομοθετοῦμεν τὰς οὕτως ἐπιορκεῖν τοῦ λοιποῦ τολμώσας γυναῖκας, πρὸς τῇ ἤδη περιληφθείσαις ποιναῖς, καὶ ταύτας ὑφίστασθαι πάσας ἃς ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν περὶ τὸν πένθιμον χρόνον γαμουμένων γυναικῶν, τήν τε ἀτιμίαν καὶ τὰ ἄλλα πάντα ταύταις ἐπάγοντες· καὶ λύσιν αὐταῖς τῶν ποινῶν διδόντες τὴν αὐτὴν ἥνπερ κἀκείναις, τὸ δεῖσθαι βασιλέως, καὶ τὴν ἡμίσειαν μοῖραν διδόναι τοῖς παισὶ τῶν οἰκείων, οὐδὲ τῆς χρήσεως παρ' αὐταῖς μενούσης. καὶ ἁπλῶς ἴσην αὐτὴν τίθεμεν, διὰ τὴν τῶν γάμων ἀωρίαν, τῇ περὶ τὸν πένθιμον χρόνον γημαμένῃ. εἰ δὲ καὶ τῶν φυσικῶν ἐπιδέοιτο παίδων (καὶ γὰρ δὴ καὶ τοῦτο δεδώκαμεν αὐτῇ) ἀλλ' οὖν εἰς ἀνδρὸς ἐλθοῦσα, καὶ μὴ ταῦτα πράξασα ἅπερ ἔμπροσθεν εἴρηται, ταῖς αὐταῖς ὑποκείσθω ποιναῖς. Πρόνοια δὲ ἔστω κατὰ μὲν τὰς ἐπαρχίας, τοῖς τῶν ἐθνῶν ἡγουμένοις, ἐνταῦθα δὲ, τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως, ἅμα τῷ παραιτεῖσθαι τοῦ τύπου μηδὲ τοῦ μέρους, ὥστε βουλομένης εἰς γάμους ἐλθεῖν τῆς ἐπιτροπευούσης γυναικός, καὶ προβληθῆναι τοῖς νέοις ἐπίτροπον, καὶ τοὺς λογισμοὺς ὑποδέξασθαι, καὶ ὅπερ ἡ μήτηρ ὀφείλει προφάσει τῆς διοικήσεως, τοῦτο ἀποδοῦναι. Ἀρέσκει δὲ ἡμῖν ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις, βουλομένη τὸν πατέρα, εἰ κελευσθείη τῷ οἰκείῳ παιδὶ πρεσβεῖον ὑπὸ αἵρεσιν ἢ ἡμέραν δοῦναι, μὴ ἄλλως ἀπαιτεῖσθαι τὴν ὑπὲρ τῆς δόσεως τῶν πρεσβείων ἀσφάλειαν (ταύτην δὴ τὴν legatorum ſeruandorum cauſa καλουμένην) πλὴν εἰ μὴ δευτέροις ὁ πατὴρ ὁμιλήσειε γάμοις. ἔστω γὰρ καὶ τοῦτο τοῖς δευτερογαμοῦσιν ἐπιτίμιον. Ἀλλὰ κἂν εἴ τις ἐν τοῖς εὐλαβεστάτοις τελῶν κληρικοῖς (τοῖς ὑπὲρ τὸν ἀναγνώστην ἢ ψάλτην φαμὲν) ὅλως ὁμιλήσειε γάμοις, τοῦτον ἐκ τῆς ἡμετέρας διατάξεως ἐκπίπτειν τῆς ἱερωσύνης διεταξάμεθά τε καὶ βουλόμεθα. εἰ μέντοι γε ἀναγνώστης ὢν καὶ γήμας, εἶτα διά τινα ἀπαραίτητον ἀνάγκην εἰς δευτέρους ἀφίκοιτο γάμους, οὐκ ἔτι πρὸς τὰ μείζω τῆς ἱερωσύνης ἀναβήσεται γέρα, ἀλλ' αὐτοῦ μενεῖ παρὰ τῇ γυναικί, τὴν ὑπὲρ ἐκείνης προκρίνας σπουδὴν τῆς ἐπὶ τὰ βελτίω προόδου. εἰ δὲ ἐν ἰδιώταις ὢν, ἐπὶ χειροτονίαν ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου ἐλθεῖν βούλοιτο, εἶτα φανείη γυναῖκα ἔχων μὴ ἐκ παρθενίας αὐτῷ συνοικήσασαν, ἀλλ' ἢ διεζευγμένην ἀνδρός, ἢ ἄλλως οὐκ ἐξ ἀρχῆς εὐθὺς αὐτῷ νομίμως συνελθοῦσαν, ἢ καὶ αὐτὸς πρὸς δευτέρους ἀφίκοιτο γάμους· οὐ τεύξεται τῆς ἱερωσύνης, ἀλλὰ κἂν εἰ λαθὼν εἰς τοῦτο ἔλθοι, πάντως αὐτῆς ἐκπεσεῖται.

Τὸ δὲ ἐφεξῆς πρᾶγμα ἔστι μὲν παλαιόν, καὶ πολλὰς μὲν δεξάμενον ἐπανορθώσεις, οὐ παρ' ἑτέρων μόνων, ἀλλ' ἤδη καὶ ὑφ' ἡμῶν, οὐ μὴν πρὸς τὸ εἰς ἄκρον ἑαυτοῦ παραγλυφόμενον ὀρθότητα νῦν μεταδιώκοντες, τὰ παρόντα νομοθετοῦμεν. ὁ γὰρ καλούμενος Iulios Miſcellas παλαιὸς νόμος ἀρχαῖος, ὃ τῆς παιδοποιΐας προβαλλόμενος σπούδασμα, ἐπέτρεπε ταῖς γυναιξίν, εἰ καὶ ὁ ἀνὴρ κωλύοι, καί τι καὶ ὑπὲρ τούτου καταλιμπάνοι, ὑπὲρ τοῦ μὴ πρὸς δευτέρους ἀφικέσθαι γάμους, ὅμως καὶ εἰς ἀνδρὸς φοιτᾶν, καὶ ὀμνύειν ὡς παίδων ἕνεκεν τοῦτο πράττοι, καὶ τὸ καταλελειμμένον λαμβάνειν· καὶ ταύτην μὲν εἰς ἐνιαυτὸν ἐδίδου ταῖς γυναιξὶ τὴν ἄδειαν, τούτου δὲ παρελθόντος, εἴπερ ἡ βουληθείη λαβεῖν τὸ καταλελειμμένον, οὐκ ἄλλως ἦν ταῖς γυναιξὶ τοῦτο λαβεῖν, πρὶν ἂν ἀσφάλειαν ἔκθοιντο ὡς ἐπὶ δευτέρους οὐκ ἐλεύσονται γάμους. ἀλλὰ ταύτην δὴ τὴν προσθήκην οὐκ αὐτὸς ὁ Iulios Miſcellas ἐξεῦρεν, ἀλλὰ Quintos Mutios Scæuolas προνομοθετήσας ἐτύγχανεν. ἐπὶ πάντων δὴ τῶν ἠρτημένων εἰς τὰς τῶν πραγμάτων κωλύσεις, τὰς τοιαύτας ἐπινοήσας ἀσφαλείας.

Universidad Carlos III de Madrid. Biblioteca

Ἡμεῖς τοίνυν ὁρῶντες τὰς πολλὰς δὴ γυναῖκας ἐπιθυμίᾳ γάμων, οὐ διὰ παιδοποιίαν, ἀλλὰ διὰ τὴν τῆς φύσεως ἀνάγκην, καὶ ὀμνυούσας, καὶ γαμουμένας, καὶ παραβαινούσας τὰς τῶν τελευτώντων γνώμας, ᾠήθημεν τὴν ἀρχὴν τέως τὸ θειότερον θεραπεῦσαι μέρος, καὶ τὴν ἐπιορκίαν αὐταῖς κωλῦσαι· καὶ μὴ οὐ συγχωρῆσαι τοιούτοις ὅρκοις ὑπέχειν, ἐφ' οἷς πάντως τὸ τῆς ἐπιορκίας πρόχειρον. καὶ γὰρ οὐδὲ ἐκεῖνο προσέκειτο τῷ νόμῳ, τὸ δεῖν τὰς ἄπαιδας οὔσας γυναῖκας τοῦτον ὀμνύειν τὸν ὅρκον, ἀλλὰ καὶ παῖδας ἐχούσαις προσέκειτο τὰ τῶν ὅρκων, θεόν τε ὁμοῦ καὶ τὴν τοῦ κατοιχομένου λυποῦντα ψυχήν. καίτοιγε τὸ μὲν τῆς ἐπιορκίας πρόχειρον ἦν, τὸ δὲ τῆς παιδοποιίας ἐν τοῖς τῆς τύχης ἀπέκειτο δώροις. ἐπεὶ τοίνυν τοῦτο ἡμετέρῳ τεθεσπίκαμεν νόμῳ, τὸν ὅρκον αὐτῶν ἀφελόντες, καὶ τὴν τοιαύτην ἐπιτρέψαντες λῆψιν, ἐνοήσαμεν ὡς θάτερον ἡμῖν τῶν πραγμάτων παραλέλειπται, τὸ δεῖν καὶ τὴν τοῦ κατοιχομένου θεραπεῦσαι ψυχήν. διὰ δὴ τὸν παρόντα τίθεμεν νόμον. οὐ γὰρ βουλόμεθα τὰς τῶν τελευτώντων οὐδὲν ἄτοπον ἐχούσας βουλὰς διαπίπτειν. εἰ μὲν γὰρ ἐφάσκομεν δεῖν τὴν γυναῖκα πάντως τοῦ ἀνδρὸς ἐπιτάξαντος μὴ γαμεῖν, τοῦτο φυλάττειν, εἶχεν ἄν τι πικρὸν ἴσως ὁ νόμος· νῦν δὲ τοῦ δευτέρου προσόντος, τοῦ, εἴπερ βουληθείη γαμεῖν, μὴ λαβεῖν τὸ καταλελειμμένον, τῆς εἰς ἔσχατον ἀτοπίας ἐστὶ περιιδεῖν τὴν γνώμην τοῦ τελευτήσαντος οὕτω κινδυνεύουσαν, ὥστε αὐτῇ δοῦναι παρρησίαν καὶ γαμεῖσθαι καὶ λαμβάνειν τὸ καταλελειμμένον, καὶ διὰ πάντων λυπεῖν τὸν πρότερον συνοικήσαντα. ὥστε θεσπίζομεν, εἴ τις κωλύσειε τὴν γαμετὴν πρὸς ἕτερον ἐλθεῖν συνοικέσιον, ἢ καὶ ἡ γαμετὴ τὸν ἄνδρα (ταυτὸν γάρ ἐστιν ἑκάτερον) καὶ ὑπὲρ τούτου τι καταλίποιεν, ὡς ἐκ δυοῖν αἵρεσιν ἔχειν τῶν συνοικησάντων τὸν ἕτερον, ἢ πρὸς γάμον ἐλθεῖν, καὶ ἀποτάξασθαι τῇ λήψει, ἢ, εἴπερ τοῦτο οὐ βούλοιτο, ἀλλὰ τιμᾷ τὸν τελευτήσαντα, πάντως ἀποσχέσθαι τῶν ἐφεξῆς γάμων. ἀλλ' ἵνα μὴ τὸ πρᾶγμα μετέωρον ᾖ, καὶ μετὰ χρόνους ἴσως μακροὺς ἐπιδημοίη πάλιν ἡ εἴσπραξις, διὰ τοῦτο καλῶς ἡμῖν ἔδοξεν ἔχειν ὁρίσαι τὸ πρᾶγμα, καὶ εἴσω μὲν ἐνιαυτοῦ μὴ εἶναι παντελῶς ἀπαίτησιν τοῦ καταλελειμμένου (πλὴν εἰ μή τις ἱερωσύνης ἐπιλαβόμενος θάτερον τῶν προσώπων, εὐθὺς δοίη τὴν λῆψιν, ὡς οὐκ ἔτι γάμων οὔσης ἐλπίδος) εἰ μέντοι διαδραμεῖν συμβαίη τὸν ἐνιαυσιαῖον χρόνον, δέδομεν μὲν τῷ προσώπῳ τούτῳ λαβεῖν τὸ καταλελειμμένον· οὐχ ἁπλῶς δὲ οὐδὲ οὕτως· ἀλλ' εἰ μὲν ἀκίνητον εἴη τὸ πρᾶγμα, μὴ ἄλλως τοῦτο λαμβάνειν πλὴν εἰ μὴ διωμοσίαν ἔκθοιτο, καὶ ὑποθήκην ὑπόθοιτο τὰ ἑαυτοῦ πράγματα (τοῦτο ὅπερ καὶ σιωπηρῶς ἐκ τοῦδε τοῦ νόμου δίδομεν) ὡς εἰ πρὸς δεύτερον ἔλθοι γάμον, ἀποδώσει τὸ δεδομένον τοιοῦτον ὁποῖον παρείληφεν, ἀποδιδοὺς καὶ οὓς ἔλαβεν ἐν μέσῳ καρπούς· εἰ δὲ κινητὸν εἴη τὸ πρᾶγμα, εἰ μὲν εὐπόρως ἔχοι τὰ τῆς περιουσίας τῷ προσώπῳ τῷ βουλομένῳ λαβεῖν, δίδοσθαι τὸ καταλειφθὲν ἐπὶ τῇ αὐτῇ ἀσφαλείᾳ, καὶ ταῖς αὐταῖς ὑποθήκαις· ἀλλ' εἰ μὲν ἕτερόν τι τῶν κινουμένων εἴη, τοιοῦτον ἀποδίδοσθαι ὁποῖον εἴληφεν, ἢ τὸ τῆς ἐλαττώσεως θεραπεύειν μέσον. εἰ δὲ χρήματα εἴη, καὶ μετὰ τόκων ἀποδιδόναι ὧν ἐκεῖθεν λαβεῖν ἴσχυσεν, ὅρκῳ τοῦ ἀναδιδόντος τούτου κρινομένου. εἰ δὲ οὐκ ἐδάνεισε μέν, συνεχρήσατο δέ, τὸν ἀπὸ τετάρτου ἑκατοστῆς ἀποδιδότω τόκον. εἰ μὴ σφόδρα δὲ εὐπόρως ἔχοι, καὶ ἐγγυητὴν οὕτω προσαπαιτείσθω. εἰ δὲ οὐκ ἰσχύσειε τὸν ἐγγυώμενον δοῦναι, τηνικαῦτα ἐπὶ διωμοσίᾳ καὶ ὑποθήκῃ, κατὰ τὸ εἰρημένον τῶν ὄντων αὐτῷ πραγμάτων μέτρον, λαμβανέτω μὲν τὸ καταλελειμμένον, εὐθὺς δὲ ἅμα τῷ πρὸς δευτέρους γάμους ἐλθεῖν, οὗτος ὑπὸ τοῦ δόντος ἐκδικείσθω, παρ' οἱονδήποτε φανείη προσώπῳ, ὡς αὐτὸ τὴν ἀρ-



Universidad Carlos III de Madrid. Biblioteca

γίνεσθαι οὐδὲ δοθῆναι δόξαν. ὥσπερ ἐπὶ παντὸς τῆς ἀναδόσεως θέματος, εἴτε κινητὸν, εἴτε ἀκίνητον εἴη τὸ μέλλον ἀναδίδοσθαι, κρατεῖν θεσπίζομεν. Εἰ δὲ χρυσίον εἴη τὸ καταλελειμμένον, ἀπόρως δὲ ἔχοι πρὸς ἐγγύην, καὶ οὐδὲ αὐτὸς ἀξιόχρεως εἴη τοῦτο καταπιστευθῆναι, μένειν μὲν παρ' ἐκείνῳ τὸ ἐξ οὗ καταλέλειπται, τὸν δὲ ἐκ τρίτης ἑκατοστῆς αὐτῷ τόκον τελέσαι· ὃν μέχρι τότε καταβαλεῖν ἕως ἢ δευτέροις ἐκείνη προσομιλήσειε γάμοις (ὅτε καὶ τὰ τῆς ἀναδόσεως τῶν καταβεβλημένων τόκων λήψεται χώραν) ἢ γένοιτο φανερὸν οὐκ ἔτι δύνασθαι τοῦτον πρὸς γάμον ἐλθεῖν, εἴτε κατὰ τὸ τῆς ἱερωσύνης (τηνικαῦτα γὰρ αὐτῷ δώσει τὸ καταλειφθὲν) ἢ καὶ θανάτῳ. λήψονται γὰρ αὐτὸ πάντως οἱ τούτου κληρονόμοι, οὐδὲν οὐδὲ τῶν δεδομένων τόκων ἀναδιδόντες. τὴν αὐτὴν δὲ εἰσάγομεν παρατήρησιν καὶ τὸν αὐτὸν λογισμὸν, καὶ εἰ μὴ οἱ συνοικοῦντες ἀλλήλοις ὑπὸ τοιαύτην καταλίποιεν αἵρεσιν, ἀλλ' ἕτερός τις ἔξωθεν ἢ ἀνδρὶ ἢ γυναικὶ ὑπὸ τοιαύτην αἵρεσιν δοθῆναί τι βουληθείη, δηλαδὴ τῶν τυχηρῶν περιστάσεων κατὰ τὴν ἑαυτῶν φύσιν καὶ τοὺς ἐπ' αὐταῖς νόμους ἐπὶ τῶν δόσεων τε καὶ ἀναδόσεων θεωρουμένων. Ταῦτα τοίνυν ἐκ τῶν ἤδη γινομένων παρ' ἡμῶν προφάσει τοῦ Iulii Miscelli διατάξεων ἀμειβόμενοι. τὰ ἄλλα δὲ ἔστω κύρια κατὰ τοὺς ὅρους καὶ τὰ θέματα, καθάπερ ταῦτα ὑφηγησάμεθα. αἱ δὲ εἰρημέναι παρ' ἡμῶν ἀσφάλειαι διδόσθωσαν, εἰ μὲν ἐνστάσεως εἴη μέρος, ἢ πρεσβεῖον, τοῖς κληρονόμοις, ἢ ὑποκαταστάτοις, ἢ ἐκείνοις ἀφ' ὧν ταῦτα καταλέλειπται· εἰ μέντοι mortis causa δωρεὰ, πάντως τοῖς κληρονόμοις. εἰ δὲ ἐξ ὁλοκλήρου κατὰ τοιαύτην αἵρεσιν γραφείη τις κληρονόμος, τοῖς ὑποκαταστάτοις, εἴγε εἶεν, ἢ πάντως γοῦν τοῖς ἐξ ἀδιαθέτου πρὸς τὸν κλῆρον καλουμένοις τοιαύτας ἀσφαλείας παρεχέτω· ἵνα πανταχόθεν ὁ νόμος ἔχῃ τὴν οἰκείαν τελειότητα. πλὴν εἰ μὴ πολλάκις ὁ διαθέμενος καὶ τοῦτο ἐπιτρέψειε, φήσας ἄδειαν ἔχειν τὸν ᾧ καταλέλοιπεν ἢ τὴν ἔνστασιν τὴν μερικὴν ἢ τὴν ἐξ ὁλοκλήρου, ἢ τὸ πρεσβεῖον, ἢ τὸ φιδεϊκόμμισσον, ἢ τὴν mortis causa δωρεὰν, καὶ λαβεῖν τὸ καταλελειμμένον, καὶ μηδεμίαν ἀσφάλειαν διδόναι. τηνικαῦτα γὰρ ἀκολουθητέον τῇ τοῦ τελευτήσαντος γνώμῃ. περισπούδαστον γὰρ ἡμῖν ἐστὶ τὰς τῶν τελευτώντων φυλάττειν μετὰ τοῦ νόμου βουλήσεις. Ἐπειδὴ δὲ μικρῷ πρόσθεν τὰ περὶ τῆς φυλακῆς τῶν πραγμάτων ἐλέγομεν, καὶ τῆς Λέοντος ἐπιστάμεθα τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξιν ἐπὶ τῶν δευτέρων γάμων· εἴπερ ἡ πρὸς ἑτέρους ἐλθοῦσα γυνὴ μὴ δυνηθείη δοῦναι τὴν ἐξ ἐγγύης ἀσφάλειαν, τὸ ὅτι τοῖς παισὶν ἀποκαθίστησι τὰ πράγματα, τὸ τρίτον μέρος τῆς ἑκατοστῆς λαμβάνειν· ἡμεῖς τὸ πρᾶγμα ἐπὶ κάλλιον ἐτάξαμεν τοῖς παρ' ἐκείνοις, τό γε ἐπὶ τούτῳ, τεταγμένοις τὴν προσήκουσαν ἐπαγαγόντες ὑποδιαίρεσιν. καὶ θεσπίζομεν (τοῦτο ὅπερ ἔμπροσθεν ἡμῖν ἐπί τινος εἴρηται διατάξεως) ἵνα εἴ τις ἐπιδοίη πράγματα κατὰ προγαμιαίαν δωρεὰν, εἰ μὲν ἅπαντα ἀκίνητα καθεστήκοι, μένοι ἡ τούτων χρῆσις παρὰ τῇ μητρὶ, πρὸς δευτέρους ἐλθούσῃ γάμους (καὶ αὐτὴ ταῦτα ἐκλέγοι, καὶ μὴ παραιτοῖτο μηδὲ ἀπαιτοίη τοὺς παῖδας ὑπὲρ τῆς τούτων ἀποτιμήσεως τόκον· ἀλλ' ἐπιμελοῖτό τε αὐτῶν καθ' ὅσον ὁ νόμος δίδωσι τοὺς τῆς χρήσεως ὄντας κυρίους, φυλάττοι τε ταῦτα κατὰ τοὺς νόμους τοῖς παισὶ περιοῦσιν ἢ, εἰ πάντες τελευτήσαιεν, κατὰ τὸν ἡμέτερον νόμον, τοῦ μὲν ἐξ ἀπαιδίας casu τῇ μητρὶ, τοῦ δὲ λειπομένου τοῖς τῶν παίδων κληρονόμοις φυλαττομένου) εἰ δὲ πᾶσα καθεστήκοι τυχὸν ἐν χρήμασιν ἢ ἄλλοις κινητοῖς πράγμασιν ἡ προγαμιαία δωρεὰ, τὸ τρίτον τοῦ τόκου μέρος λαμβάνουσαν τὴν μητέρα σὺν τῇ ἤδη νενομοθετημένῃ ἀσφαλείᾳ, μὴ ἀπαιτεῖν παρὰ τῶν παίδων χρυσίον. πλὴν εἰ μὴ ἄφθονος ἡ τοῦ ἀνδρὸς εἴη περιουσία, καὶ ἔχοι καὶ χρυσίον καὶ ἄργυρον, καὶ ἐσθῆτα, καὶ εἴ τι καλλιγεγραμμένον ἦν τῇ μητρί.

Universidad Carlos III de Madrid. Biblioteca

τὴν καὶ αὐτὰ γὰρ τὸν ἐπίλογον τῇ μητρὶ δώσομεν, εἴ γε βούλοιτο τὰ πράγματα λαβεῖν, καὶ δοῦναι τὴν ἐξ ἐγγύης ἀσφάλειαν, εἴτε καὶ τὸν εἰρημένον κομίζεσθαι τόκον· ἀπὸ τετάρτης φαμὲν ἑκατοστῆς, κατά τε τοὺς ἔμπροσθεν νόμους, κατά γε τὸν ἡμέτερον νόμον. εἰ δέ γε ἀναμὶξ εἴη τὰ πράγματα, καὶ ἡ δωρεὰ τὸ μὲν ἐν χρήμασι, τὸ δὲ ἐν ἀκινήτοις ἔχοι πράγμασι, τὰ μὲν ἀκίνητα πάντως μενέτω παρὰ τῇ μητρί, διὰ τὸ τὴν ἀπογραφὴν ἔχειν ἐκεῖθεν· ἐπὶ δὲ τοῖς κινητοῖς ταῦτα κρατείτω ἅπερ ἐνομοθετήσαμεν ἔμπροσθεν, εἴπερ ἐτύγχανεν ἐν κινητοῖς πάντα τὰ τῆς προγαμιαίας δωρεᾶς καθεστῶτα. προσηκούσης τῆς γαμετῆς ὥστε μὴ ῥᾳθυμῆσαι ἢ ἀμελῆσαι τῶν ἀκινήτων, μηδὲ ἐλάττω ταῦτα ποιῆσαι, ἀλλ' οἷάπερ ἔλαβεν ἀποδοῦναι. Ἐντεῦθεν ἡμᾶς ἕτερος καλεῖ λόγος, ὁ περὶ τῆς τῶν παίδων διαδοχῆς, ἣν ἂν λάβοιεν αἱ δευτέροις ὁμιλήσασαι γάμοις. ἤδη μὲν οὖν καὶ περὶ τούτων γέγραπται νόμος ἡμῖν, πρὸς Ἑρμογένην τὸν τῆς ἐνδόξου μνήμης, μάγιστρον τῶν θείων ἡμῶν γενόμενον τάξεων, ἀπογεγραμμένος, μετὰ τὴν Βελισαρίου τοῦ ἐνδοξοτάτου πρεσβυτέρων ὑπατείαν, τῇ πρὸ δεκαεπτὰ καλανδῶν ἀπριλλίων· καθ' ὃν ἐθεσπίσαμεν, τὰς μητέρας ἐπὶ τοῦ τοῦ παιδὸς τοῦ μὴ καταλιπόντος παῖδας, μετὰ τῶν αὐτοῦ τοῦ τελευτήσαντος ἀδελφῶν, ἀπραγμόνως καλεῖσθαι κλῆρον· καὶ τούτου μετὰ τῆς χρήσεως καὶ τὴν δεσποτείαν μετέχειν βεβαίως, εἴτε πρὸ τοῦ κλήρου, εἴτε μετὰ τοῦτον δευτέροις ὡμίλησαν γάμοις· ἀνελόντες ἐξ ἐκείνου τοὺς νόμους οἳ περὶ τούτων ἐναντίον τι διηγόρευον. ταύτην ἡμεῖς τὴν νομοθεσίαν κυρίαν καὶ νῦν μένειν ἐπὶ μόναις ταῖς ἤδη πρὸς δευτέρους ἐλθούσαις γάμους θεσπίζομεν, καὶ τινὰς τῶν οἰκείων διαδεξαμέναις παίδων, ἐν βεβαίῳ τε αὐταῖς φυλάττεσθαι καὶ κατὰ τὸν ἑξῆς χρόνον· εἴτε πρὸ τῶν γάμων, εἴτε μετὰ τοὺς γάμους τὸν κλῆρον εἰς αὐτὰς τοῦ παιδὸς κατενεχθῆναι συνέβη. τὰ δὲ ἐν ταῖς μετὰ ταῦτα εἰς δευτέρου φοιτώσαις ἀνδρὸς εὐνὴν ἡμῖν ὁ παρὼν νόμος τυπούτω τε καὶ διαθεσμοθετείτω. Οὐκοῦν ἀνάγκη τὸν παῖδα τελευτῶντα, εἴτε ἄρρενα, εἴτε θήλειαν, ἢ ἐπὶ διαθήκαις τελευτᾶν, ἢ τούτων χωρίς. τέως οὖν τὰ ἐκ διαθηκῶν εἰπόντες, οὕτως ἐπὶ τὴν ἐξ ἀδιαθέτου τάξιν ἀφιξόμεθα. εἰ τοίνυν νομίμως ὁ παῖς διαθέμενος, καταλείψει τῇ μητρὶ τὴν οὐσίαν, ἢ καὶ μοῖραν ταύτης τινά, ταύτην ἐκείνη λαμβανέτω, διὰ τὴν γραφὴν (ἐπειδὴ πανταχοῦ φυλάττεσθαι τὰς τῶν τελευτώντων βουλόμεθα γνώμας) καὶ ἐχέτω τὸ καταλελειμμένον, ἢ δεδομένον, καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν. ὥσπερ γὰρ ἐξῆν καταλιμπάνειν τινὶ τῶν ἔξωθεν, καὶ οὐδὲν τὸν κληρονόμον ὁ δεύτερος ἐκείνης ἔβλαπτε γάμος· οὕτω καὶ τῇ μητρὶ καταλιπὼν ἢ καταλιποῦσα εἴτε ἔστασιν, εἴτε πρόσοδον, ὀρθῶς καταλιμπανέτω καὶ κατὰ δεσποτείαν καὶ χρῆσιν· εἴτε ἐκ τῶν ἔξωθεν αὐτῷ προσγενομένων εἴη πραγμάτων, εἴτε καὶ ἐκ τῶν πατρῴων· οὐδὲν πρὸς τοῦτο τῶν ἀδελφῶν ἀντιλέγειν δυναμένων. εἰ δὲ ἀδιάθετος ὁ παῖς τελευτήσειεν, ἤδη πρὸς δευτέρους ἐλθούσης τῆς μητρὸς γάμους, ἢ καὶ ὕστερον ἐρχομένης, καλείσθω μὲν καὶ αὐτὴ μετὰ τῶν τοῦ παιδὸς ἢ τῆς παιδὸς ἀδελφῶν, in capita (δηλονότι κατὰ τὴν ἡμετέραν διάταξιν) ἐξ ἀδιαθέτου, πρὸς τὴν ἐκείνου διαδοχήν. ἀλλ' ὅσα μὲν ἐκ πατρῴας οὐσίας εἰς τὸν παῖδα περιῆλθον, τούτων μόνην ἐχέτω τὴν χρῆσιν, εἰς δευτέρους ὅλως ἢ πρότερον ἢ ὕστερον ἀφικομένη γάμους. εἰς δὲ τὰ λοιπὰ πάντα πράγματα, ὁπόσα ἔξωθεν ἦν τῷ παιδὶ περὶ τὴν τοῦ παιδὸς διαδοχήν, ἐρχέσθω κατὰ τὴν κλῆσιν τὴν ἡμετέραν, ἣν αὐτίκα ἐροῦμεν, τινὸς ἐπανορθώσεως καὶ αὐτὴν δεομένην. καὶ ταῦτα φαμὲν ἐπὶ τοῖς πράγμασι τοῖς ἔξω τῆς προγαμιαίας δωρεᾶς. τὰ γὰρ ἐπ' ἐκείνοις νενομοθετημένα παρ' ἡμῶν καὶ πρὸς γε παρὰ τοῦ Λέοντος τοῦ τῆς εὐσεβοῦς λή-



Universidad Carlos III de Madrid. Biblioteca

ξεως διαπράξεως, ἀκέραια φυλαττομένων, ἐφ' οἷς μόνην ἡ μήτηρ ἕξει τὴν χρῆσιν καὶ ἐπικαρπίαν· ἀλλ' ἐπὶ τοῖς ἄλλοις πράγμασι ταῦτα νομοθετοῦμεν, καὶ τῷ ἐξῆς παραδιδομένῳ χρόνῳ, ὅσα μετὰ τὴν προγαμιαίαν δωρεάν ἐστιν ἐκ πατρὸς ἀφικόμενα τῷ παιδὶ, ἢ ἐξ ἄλλων αἰτιῶν, ἐπί τε τῆς ἐκ διαθήκης, ἐπί τε τῆς ἐξ ἀδιαθέτου κλήσεως· τοῦ κατὰ τῶν ἀχαρίστων παίδων λόγου πανταχόθεν καὶ ἐπὶ τούτοις τοῖς πράγμασι φυλαττομένου, ὅταν ἀληθεῖς αἰτίαι τῆς ἀχαριστίας δεικνύοιντο· τῶν ἄλλων ἁπάντων, ὁπόσα περὶ διαδοχῆς εἴρηται γονέων ἐπὶ τοῖς παισὶν, ἢ παίδων ἐπὶ τοῖς γονεῦσιν, ἀκεραίων φυλαττομένων. Τὴν δὲ ἀχαριστίαν ἐνταῦθα σκοποῦμεν οὐ μόνον πρὸς τὴν μητέρα, κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν ἀδελφὸν τὸν τελευτήσαντα. ἐπειδὴ μέντοιγε ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας, ἐκεῖνον μόνον, ὡς ἀχάριστον περὶ τὸν ἀδελφὸν γενόμενον, μετέχειν τούτου τοῦ κέρδους οὐ συγχωροῦμεν, ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσειε τῷ ἀδελφῷ, ἢ ἐγκληματικὴν ἐπενέγκοιτο κατ' αὐτοῦ γραφὴν, ἢ τῆς οὐσίας αὐτῷ σπουδάσειεν ἐπαγαγεῖν ἀφαίρεσιν. τὸ γὰρ ἐκείνου μέρος εἴς τε τοὺς λοιποὺς ἀδελφοὺς καὶ τὴν μητέρα ἐρχέσθω. καὶ οὗτος ὁ νόμος ἐπὶ ταῖς τῶν παίδων διαδοχαῖς, αἷς αἱ μητέρες διαδέχονται τοὺς παῖδας, κείσθω, τὴν παρ' ἡμῶν γενομένην ὑποδιαίρεσιν εἰσηγούμενος ταῖς εἰς τὸν ἐξῆς χρόνον δευτέρῳ συνοικεῖν μελλούσαις ἀνδρί. ταῖς γὰρ δὴ πρὸς δευτέρους ἐλθούσαις συνοικέσιον, καὶ τῆς εὐεργεσίας τοῦ μνημονευθέντος νόμου ἡμῶν τυχούσαις, ἐξέστω τὰ πρὸς αὐτὰς ἐκ τῆς τῶν παίδων ἐλθόντα διαδοχῆς, εἴτε ἐκ διαθηκῶν, εἴτε ἐξ ἀδιαθέτου, ἔχειν βεβαίως κατά τε δεσποτείαν καὶ χρῆσιν καὶ ἐπικαρπίαν, καὶ ἐκποιεῖν καὶ διατιθέναι καὶ παραπέμπειν καθ' ὃν ἐθέλοιεν τρόπον· οὐδὲν αὐταῖς ἐμποδὼν κατά τινα χρόνον τοῦ πρὶν ὄντος ἱσταμένου νόμου. Κἀκεῖνο δὲ κύριον τοῖς ἐκ τοῦ προτέρου γάμου μενέτω παισὶν, ὅπερ ἐπὶ τῆς εἰρημένης ἡμῖν διατέτακται νομοθεσίας. ὥστε εἰ τὴν προγαμιαίαν δωρεὰν, ἣν ἡ μήτηρ τελευτήσαντος αὐτῇ τοῦ συνοικήσαντος ἐκέρδανε, συμβέβηκεν εἰς τὸν τελευτήσαντα τῶν παίδων περιελθεῖν, καὶ διὰ τοῦτο μέρος αὐτὴν τῆς ἐκείνου γενέσθαι κληρονομίας, τὴν μητέρα, μηδὲ καθ' ὅσον κληρονομεῖ τοῦ παιδὸς, τῆς δεσποτείας τῶν ταύτης τῆς πρὸ γάμου δωρεᾶς πραγμάτων ἀπολαύειν, μόνην δὲ ἔχειν τὴν τούτων, ἐφ' ὅσον περίεστι, χρῆσιν καὶ ἐπικαρπίαν. κρατείτω τοίνυν καὶ τοῦτο τοῖς ἐκ τῶν προτέρων γάμων κεχαρισμένοις παισὶ, πλὴν εἰ μὴ πρὸ τοῦ ῥηθέντος νόμου δικαστικὴ ψῆφος ἢ διάλυσις μεταξὺ τῶν μερῶν γενομένη περὶ τούτων τι διωρίσατο. Ἐπειδὴ δὲ ἡ μήτηρ ἐξεκλείετο μὲν ὑπὸ παιδὸς ἄρρενος (τοῦτο ποιοῦντος τοῦ δόγματος ὃ Τερτυλλιανεῖον καλοῦσι) θυγατράσι δὲ συνανεπέμπετο· ἡμεῖς οὐκ ἐπιζητοῦντες τὸ τῶν παίδων δίκαιον, ἀλλ' αὐτόθεν αὐτῇ legitima δίκαια δόντες, ἐκαλέσαμεν αὐτὴν καὶ μετὰ τῶν ἀρρένων ἀδελφῶν τοῦ τελευτήσαντος, κατὰ τοσοῦτον καθ' ὅσον ἀριθμὸν οἱ παῖδές εἰσιν· ὥστε καὶ αὐτὴν μοῖραν ἔχειν τοσαύτην ὅσην ἕκαστος τῶν ἀδελφῶν· εἰ δὲ καὶ ἀναμὶξ ἄρρενές τε καὶ θήλειαι καθεστήκοιεν, ταυτὸ τοῦτο διατυπώσαντες. εἰ μέντοι μήτηρ καὶ θήλειαι μόναι καθεστήκοιεν, ἐκεῖσε τὸ δόγμα τὴν μὲν ἡμίσειαν μοῖραν ἐδίδου τῇ μητρὶ, τὴν δὲ λειπομένην ἡμίσειαν ἐδίδου ταῖς ἀδελφαῖς, ὅσαι δήποτε καθεστήκοιεν. ὅπερ ἐπειδὴ μὴ πρότερον ἐπηνωρθώσαμεν, νῦν ἄγομεν ἐπὶ τὴν προσήκουσαν διόρθωσιν, καὶ ἐπὶ τούτου τοῦ θέματος καλοῦντες αὐτὴν πρὸς ἀναλογίαν τῶν παίδων· ὥστε ὅσον ἑκάστη τῶν θυγατέρων ἔχει, τοσοῦτον μόνον καὶ αὐτὴν κομίζεσθαι. καὶ ἐπὶ παντὸς θέματος εἰς τοῦτο φερομένου, in virilem portionem (τοῦτο δὴ τὸ τοῦ νόμου)

Universidad Carlos III de Madrid. Biblioteca

καὶ ἡ μήτηρ ἀφικνεῖσθω, εἴτε μόνοι καθεστήκοιεν ἄρρενες, εἴτε μόναι θήλειαι, εἴτε καὶ ἀναμὶξ ἑκάτερα γονή. Ἐκεῖνο δὲ ἐπιπροσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν. εἰ γὰρ τελευτήσειεν ἢ ἀνήρ, ἢ γυνή, παῖδας ἔχοντες ἔκ τε τῶν προτέρων ἔκ τε τῶν δευτέρων γάμων, οἳ μετὰ τόνδε ἡμῶν συναλλάξαιεν τὸν νόμον (ἐπὶ γὰρ δὴ τούτων τὰ πρόσθεν διατάττομεν) τὰ μὲν ὅσα ἐπὶ τοῖς κέρδεσι τοῖς ἐκ τῶν γάμων παραφυλάττεσθαι χρή, ταῦτα ἐνομοθετήσαμεν, καὶ πρός γε διεκρίναμεν τὰς μοίρας ἃς ἀνάγκη τοὺς γονέας τοῖς γνησίοις καὶ μὴ ἀχαρίστοις καταλιμπάνειν παισίν. αὖθις δὲ δὴ τοὺς φύσαντας οὐ δίκαιον ἂν εἴη πρὸς τὴν δευτέραν ὅλως ἀποκλῖναι γονήν, καὶ τὸ ἐκ τοῦ νόμου μόνον καταλιπόντας τοῖς προτέροις μέρος, τἄλλα πάντα ἐπὶ τοὺς δευτέρους ἀγαγεῖν, ἀλλὰ καί τι καὶ τοῖς προτέροις προσθεῖναι. εἰ μὲν γὰρ τινα ἐκ τῶν δευτέρων ἔχοιεν γάμων, ἢ καὶ τῶν πρώτων τύχοι, οὕτω περισπούδαστον, οὕτως ἀγαπώμενον, ὥστε βούλεσθαι ὑπερφέρειν αὐτὸν τοὺς ἄλλους ἐν τῇ κτήσει, δίδομεν ἄδειαν τοῦτο πράττειν· μὴ μὴν καθάπαξ τοὺς μὲν προτέρους παῖδας ἐλαττοῦν, τοὺς δευτέρους δὲ αὔξειν. ἀλλὰ μηδὲ ἐν σφόδρα μεγάλῳ ποιεῖσθαι τὴν παραύξησιν, μηδὲ καθάπαξ ἐπιλελῆσθαι τῶν ἔμπροσθεν γάμων, μηδὲ βεβαιοῦν τὰ τοῖς πρὸ ἡμῶν περὶ τῶν τοιούτων εἰρημένα· ἀλλὰ προνοεῖν μὲν καὶ τῶν δευτέρων, προνοεῖν δὲ καὶ τῶν πρώτων, ἐνθυμουμένους ὅτι παῖδες ἄμφω καθεστᾶσι, καὶ οὕτω ποιουμένους τὴν τῶν διαδοχῶν ἐν ταῖς διαθήκαις διαίρεσιν. εἰ γὰρ ἀδιαθέτων αὐτῶν τελευτώντων, ὁ νόμος ἅπαντας ἐξ ἴσου καλεῖ, προσῆκόν ἐστιν αὐτοὺς μιμουμένους τὸν νόμον, μὴ σφόδρα μεγάλαις αὐτοὺς συστέλλειν ταῖς ἐλαττώσεσιν, αἰδουμένους τὸν νόμον. οὕτω γὰρ ἔσονται πατέρες ἀγαθοί, καὶ τῆς ἡμετέρας ἄξιοι νομοθεσίας· καὶ δίκαιοι μὲν ἔσονται μόνον τὸν νόμον φυλάττοντες, εἰ δέ τι καὶ ὑπὲρ τὸν νόμον καταλίποιεν, ἔσονται δίκαιοί τε ἅμα καὶ φιλάνθρωποι πατέρες. καὶ οὐ ταῦτα φαμὲν μεταξὺ ἀχαρίστων τε καὶ τῶν εὐχαριστουμένων παίδων (τὰ γὰρ περὶ τῶν ἀχαρίστων ἤδη πολλάκις εἴρηται) ἀλλὰ περὶ τῶν μᾶλλον ἢ ἧττον ἀγαπωμένων. ὡς πολὺ τὸ διάφορον ἐστὶν ἀχαριστίας τε καὶ εὐχαριστίας, καὶ τῆς οὐχ ὁμοίας τιμῆς. τοῦτο δὲ δὴ τὸ μέρος τὸ περὶ τῆς ἰσότητος τῶν παίδων τῶν ἐκ πρώτου καὶ δευτέρου συνοικεσίου γινομένων συμβουλεύοντες μᾶλλον ἢ νομοθετοῦντες φαμέν. ἐπεί τοι γε ἅπαξ αὐξήσαντες τὴν ἐξ ἀδιαθέτου μοῖραν τὴν πρότως τοῖς παισὶ καταλειφθησομένην, καὶ ἄχρι μὲν τεσσάρων παίδων τετραούγκιον πάντως ὁρίσαντες, εἰ δὲ ὑπὲρ τοὺς τέσσαρας, ἄχρι τοῦ ἡμίσεως τῆς οὐσίας πάσης μέρους ἱκανὴν ἤδη δεδώκαμεν τοῖς παισὶ παραμυθίαν, οὐκ ὀλίγῳ μέτρῳ τὴν παλαιὰν αὐτοῖς στενοχωρίαν λύσαντες. ἔστω τοίνυν ὁ παρὼν νόμος τῷ μέλλοντι χρόνῳ νομοθετῶν, καθὰ πολλάκις εἰπόντες ἔφθημεν, καὶ οὐδὲν τῶν ἔμπροσθεν προσαπτόμενος, ἀλλὰ συνειλεγμένος πανταχόθεν καὶ συνεσπειραμένος ὑπὸ μίαν συνέχειαν, καὶ ἅπαντα σχεδὸν τὰ περὶ δευτέρων ἀπαγγέλλων γάμων· καὶ τὰ μὲν πρότερα τοῖς ἔμπροσθεν ἐπὶ τὴν ἑαυτῶν φυλάττων ἰσχύος, τὰ δὲ μετ' αὐτοῦ διατατόμενα τοῖς ἐσομένοις δευτέροις εἰσηγούμενος γάμοις· καὶ νέαν τινὰ πανταχόθεν καὶ ἀπηκριβωμένην εἰσάγων τοῖς ζητοῦσιν ὠφέλειαν, πασῶν τῶν ἐπὶ τοῖς τοιούτοις κειμένων διατάξεων, ἐπὶ τοῖς ἐσομένοις μετὰ τόνδε ἡμῶν τὸν νόμον γάμοις, καὶ τοῖς ἐξ αὐτῶν συμβαίνουσι σχολαζουσῶν· ταύτης δὴ τῆς μιᾶς διατάξεως τῷ μέλλοντι χρόνῳ, μετὰ τὸ πρὸ ἡμῶν διωρισμένον, ἐπὶ τοῖς περιεχομένοις αὐτῇ θέμασιν ἀντὶ πασῶν ἀρκεσούσης.

Ταῦτα τοίνυν ἡ σὴ ὑπεροχὴ πᾶσι τοῖς ἔθνεσι τοῖς ὑπὸ τὴν σὴν τελοῦσιν ἀρχὴν τῷ συνήθει τρόπῳ φανερὰ γενέσθαι προσταξάτω. ὥστε ἅπαντας γινώσκοντας ὡς



Universidad Carlos III de Madrid. Biblioteca

μείζονα πόνον ὑποστάντες ἢ ὅσον ἐχρῆν τὸν βασιλικαῖς περιῤῥεόμενον φροντίσιν, ὅμως οὐδὲν ἔμπροσθεν τῆς αὐτῶν ἐποιησάμεθα σωτηρίας· ὡς μὴ πολλαχόθεν ἐρανίζεσθαι τὸ δίκαιον, ἀλλ᾽ ἅπαν ὁρᾶν τοὺς εἰς ἓν ἠθροισμένον τὸ περὶ τούτου τῆς νομοθεσίας μέρος, γινώσκειν ὡς καὶ τὸ πρότερον τοῖς ἤδη τεθεῖσιν ἐφυλάξαμεν νόμιμον, καὶ τῷ μέλλοντι χρόνῳ τὴν προσήκουσαν ἐπιτεθείκαμεν ἁρμονίαν.

Ἐγράφη τὸ ἰσότυπον Πατρικίῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως. Ἐγράφη τὸ ἰσότυπον Βασιλίδῃ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων, ἀπὸ ἐπάρχων, ὑπάτῳ καὶ πατρικίῳ. Ἐγράφη τὸ ἰσότυπον Στρατηγίῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν θείων largitionων, ἀπὸ ὑπάτων, καὶ πατρικίῳ. Ἐγράφη τὸ ἰσότυπον Τριβουνιανῷ τῷ ἐνδοξοτάτῳ κυαίστωρι τὸ δεύτερον, καὶ ἀπὸ ὑπάτων. legi. Ἐγράφη τὸ ἰσότυπον Γερμανῷ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου, ἀπὸ ὑπάτων καὶ πατρικίῳ. legi. Ἐγράφη τὸ ἰσότυπον Τζίττᾳ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου, ἀπὸ ὑπάτων καὶ πατρικίῳ. legi. Ἐγράφη τὸ ἰσότυπον Μαξεντιανῷ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου, καὶ ἀπὸ ὑπάτων. legi. Ἐγράφη τὸ ἰσότυπον Φλώρῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν θείων πριβάτων, καὶ ἀπὸ ὑπάτων. legi. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν γινώσκουσα, ἐν τῷ δικαστηρίῳ τῷ σῷ φανερὰ καταστησάτω τοῖς τε συνηγόροις, τοῖς τε δήμοις ὧν ἄρχει, ὥστε κατὰ ταῦτα τέμνεσθαι τὰς ὑποθέσεις. οὐ μὴν προθήσεις δημοσίᾳ τήνδε ἡμῶν τὴν θείαν διάταξιν, ἀρκούντων τῶν περὶ τούτου παρ᾽ ἡμῶν γεγραμμένων πρὸς τοὺς ἐνδοξοτάτους ὑπάρχους τῶν ἱερῶν ἡμῶν πραιτωρίων.

Νόμος γραφεὶς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ. DAT. XV. K. APRIL. CONSTANTINOP. POST BILIS. V. C. CONS.

## Περὶ τῶν ἐκκλήτων, πρὸς τίνα διαπέμπονται, εἰ μέχρι δέκα χρυσίου λιτρῶν ἐστιν ἡ ἐκκληθεῖσα ὑπόθεσις. Διάταξις κγ.

ΟΥ μόνον ὁ πρωτότυπος, ἀλλὰ καὶ ὁ ἐντολεύς, καὶ ὁ ἐκδικητὴς αὐτοῦ, καὶ ὁ κουράτωρ, καὶ ὁ πάτρων, εἴσω δέκα ἡμερῶν τῆς ἐκφωνηθείσης ψήφου δύναται ἔκκλητον ἐπιδιδόναι. τοῖς δὲ ἐπάρχοις τῶν πραιτωρίων οὐδεὶς ἐκκαλεῖται. Οὐδὲν ἐκ παραδρομῆς τοῦ χρόνου τῇ δίκῃ γίνεται πρόκριμα, ἐκ τοῦ μὴ σχολάζειν τὸν βασιλέα ταύτης ἀκροᾶσθαι. Ἡνίκα εἰς αὐτὸν καὶ τὴν σύγκλητον διαφέρεται τὰ τῆς ὑποθέσεως, καὶ ἐκκλητευθεῖσα δίκη μέχρι δέκα χρυσίου λιτρῶν οὖσα, ἐπὶ μὲν τῆς Αἰγυπτιακῆς διοικήσεως καὶ τῆς προσωνομασμένης ἑκατέρας Λιβύης, ἀκροατὴν ἕξει τὸν αὐγουστάλιον· ἐπὶ δὲ τῆς ἀνατολικῆς διοικήσεως, τὸν κόμητα τῆς ἀνατολῆς· ἐπὶ δὲ τῆς Ποντικῆς καὶ Ἀσιανῆς, τοὺς περιβλέπτους κόμητας, καὶ ἀνθυπάτων καὶ κουρατόρων· ὡσαύτως δὲ καὶ μοδεράτωρας· εἴπερ ἰδικῶς αὐτοῖς τοῦτο ἐπιτέτραπται. πάντων τῶν προειρημένων θεῖον ἐχόντων ἀκροατήριον, καὶ μὴ δυναμένου τινὸς τὰς ἐπὶ τῇ ἐξετάσει τῶν ἐκκλήτων προϊούσας παρ᾽ αὐτῶν ψήφους παραιτεῖσθαι. Τὰς ἐκ τῆς προφάσεως τῶν περιβλέπτων ἀρχόντων γινομένας ἐκκλήτους, εἴτε ὑπερβαίνουσι τὸ ποσὸν τῶν δέκα τοῦ χρυσίου λιτρῶν, εἴτε καὶ ἐλαττοῦνται περὶ τοῦτο, καὶ ὁ ἔπαρχος τῶν πραιτωρίων ἅμα τῷ κυαίστωρι ἐξεταζέτω, ἑκατέρας αὐτοῖς ὑπουργούσης τάξεως.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τοῦ ἄρχοντος ἤγουν τοῦ πραίτωρος Πισιδίας. Διάτ. κδ.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΚΑΙ τοὺς πάλαι Ῥωμαίους πεπιστεύκαμεν οὐκ ἄν ποτε δυνηθῆναι τοσαύτην πολιτείαν ἐκ μικρῶν καὶ ἐλαχίστων ἀρχῶν συστήσασθαι, καὶ πᾶσαν ἐξ αὐτῆς τὴν οἰκουμένην, ὡς εἰπεῖν, περιλαβεῖν τε καὶ καταστήσασθαι, εἰ μὴ μείζοσιν ἄρχουσιν ἐν ταῖς ἐπαρχίαις πεμπομένοις σεμνότεροί τε ἐντεῦθεν ἐφαίνοντο, καὶ πρότερον αὐτοῖς ἐξουσίαν ὅπλων τε καὶ νόμων· καὶ πρὸς ἑκάτερον εἶχον αὐτοὺς ἐπιτηδείους τε καὶ ἀξιοχρέους καθεστῶτας. οὓς δὴ καὶ πραίτωρας ἐκάλουν, ἐκ τοῦ πρὸ τῶν ἄλλων ἁπάντων ἰέναι καὶ παρατάττεσθαι, ταύτην αὐτοῖς δόντες τὴν προσηγορίαν· ἐπιτρέψαντές τε αὐτοῖς καὶ τὰ πολιτικὰ διοικεῖν, καὶ τὰ περὶ τῶν νόμων γράφειν· ὅθεν καὶ τὰ δικαστικὰ καταγώγια, πραιτώρια καλεῖν ἔταξαν, καὶ πολὺς νόμος ἐκ τῆς τῶν πραιτώρων ἐξεχέθη φωνῆς· πολλοί τε πραίτωρες, οἱ μὲν Σικελίαν, οἱ δὲ Σαρδὼ τὴν νῆσον, οἱ δὲ Ἱσπανίαν, οἱ δὲ ἄλλην κατεκτήσαντό τε καὶ διῳκήσαντο θάλατταί τε καὶ γῆν. Ταῦτα ἐννοοῦντες ἡμεῖς, καὶ τὴν παλαιότητα πάλιν μετὰ μείζονος ἄνθους εἰς τὴν πολιτείαν ἐπαναγαγόντες, καὶ τὸ Ῥωμαίων σεμνύναντες ὄνομα, καὶ ὁρῶντες ὡς ἐν ταῖς τῶν ἐπαρχιῶν βραχυτέραις, διπλῆς τινὸς μέχρι νῦν στελλομένης ἀρχῆς, οὐδεμία πρὸς τέλειον αὐτάρκης τις ἦν· διὰ τοῦτο ἔν τισιν ἐπαρχίαις ἡμῶν, ἐν αἷς ἄρχων τε πολιτικὸς ἦν, καὶ στρατιωτικὸς ἄλλος, ἀεὶ μὲν πρὸς ἀλλήλους φιλονεικοῦντες, ἀεὶ δὲ μαχόμενοι, οὐχ ὅπως τι πράξαιεν τοὺς ὑπηκόους ἀγαθόν, ἀλλ' ὅπως ἀπὸ πλέον αὐτοὺς ἐπιτρίψαιεν· ᾠήθημεν χρῆναι πρὸς ἕν τι σχῆμα συναγαγεῖν ἑκατέραν ἀρχὴν τῆς Πισιδίας, τὴν πολιτικήν τε ἅμα καὶ στρατιωτικήν· καὶ δοῦναι τῷ ταύτην ἔχοντι τὴν ἐξουσίαν, τὴν τοῦ πραίτωρος πάλιν προσηγορίαν· ὥστε αὐτὸν καὶ τῶν στρατευμάτων τῶν ἐπὶ τῆς χώρας ὄντων, κατὰ τὴν ἄνωθεν αὐτῷ παραδοθεῖσαν ἐπωνυμίαν, ἡγεῖσθαι, καὶ προβεβλῆσθαι τῶν νόμων (καὶ τοῦτο δὲ ἄνωθεν τῶν πραιτώρων ἴδιον ἦν) καὶ ἔχειν μὲν τὰς ἑκατέρας ἀρχῆς σιτήσεις, τάξει δὲ χρῆσθαι μιᾷ ταξεωτῶν ἑκατόν. ἀρκέσουσι γὰρ αὐτῷ τοσοῦτοι πραιτωριανῆς τῆς τάξεως καλουμένης, καὶ ἐκ προβατειῶν (τουτέστιν ἐκ δοκιμασιῶν) ἐντεῦθεν προσφόρως φοιτώσης γινομένης. οὕτω γὰρ ἔσται σεμνός, οὕτω φοβερὸς τοῖς λῃστεύουσιν, οὕτω τοῖς ἀδικοῦσιν ἀπαραίτητος, εἰ μετὰ πλείονος ἐξουσίας ἅπαντα πράττοι. τὸ μὲν καθαρᾶς χρῆσθαι ταῖς χερσὶν, ἤδη τοῦ παρ' ἡμῶν ἔναγχος τεθέντος νόμου κελεύσαντος ἁπάσαις ταῖς ἀρχαῖς, αὐτοῦ δὲ πειθομένου τε ἐκείνῳ καὶ τὸν ὅρκον ὑπέχοντος, καὶ κατ' αὐτὸν διακυβερνῶντος τὰ πράγματα τοῖς τε ὅπλοις χρωμένου, τά τε πολιτικὰ κατὰ τοὺς ἡμετέρους διατάττοντος νόμους. ὥστε εἰ καὶ τῶν ἐνδοξοτάτων τις ὑπατικῶν ἐπὶ τὴν ἀρχὴν ἔλθοι, καὶ τοῦτο μίμημα τῶν ἔμπροσθεν εἴη, καθὸ διεκληροῦντο τὰς ἐπαρχίας ἄνδρες ὕπατοί τε καὶ ἐξ ὑπάτων, καὶ πραίτωρες μικρὸν τῶν ὑπάτων ἐλαττούμενοι· καὶ οὕτω κατὰ μικρὸν τὸ τῶν Ῥωμαίων ηὔξησαν ὄνομα, καὶ τοσοῦτον πεποιήκασιν ὅσον οὐδεμίαν παντελῶς ἑτέραν τῶν ἄλλων πολιτειῶν δέδωκεν ὁ Θεός. ὅπερ ἐπὶ τῆς Πισιδῶν χώρας ἄρξασθαι πρῶτον βουλόμεθα· διότι καὶ τοῖς ἔμπροσθεν χρονογράφοις εἰρημένον εὑρήκαμεν, τὸ πρῶτον ἁπάσης ἐκείνης τῆς γῆς τὸ Πισιδῶν

ἔθνος ἐξάρχειν· καὶ νῦν δὲ δὴ τὴν ἐπαρχίαν ταύτην δεῖσθαι μείζονος καὶ σφοδροτέρας ἀρχῆς πιστεύομεν· ἐπειδήπερ καὶ κῶμαι μέγισται κατ' αὐτήν εἰσι καὶ πολυάνθρωποι, καὶ πολλάκις πρὸς αὐτοὺς στασιάζουσαι τοῖς δημοσίοις φόροις. καὶ τοῖς τε λῃστρικοῖς ἐκείνοις καὶ ἀνδροφόνοις χωρίοις, ἅπερ ἐπί τινος ἀκρωρείας λύκου κεφαλῆς καλουμένης ἵδρυται, Λυκοκρανίας τε οἰκητήριον ὀνομάζεται, τὴν ἀρχὴν ταύτην ἐφεστάναι. καὶ νῦν μὲν οὐ κατὰ τάξιν νόμιμον ἐπ' αὐτὴν χωρεῖν, ἀλλὰ κατά τινος ἐπιδρομῆς σχῆμα· τῆς γὰρ ἀρχῆς μιγνυμένης, καὶ συντιθεμένων εἰς ταυτὸ τοῦ τε στρατιωτικοῦ τοῦ τ' ἀρχικοῦ παρασήμου, ἑπομένου τε αὐτῷ καὶ τοῦ στρατιωτικοῦ πλήθους παντὸς ὁπόσον τῆς ἐπαρχίας ἐστίν, καὶ πρός γε τῆς πολιτικῆς τάξεως ὅλης (σεμνῆς γε ἤδη τῆς προσηγορίας αὐτῷ καθεστώσης, καὶ τετιμημένης τῇ τοῦ πραίτωρος ἐπωνυμίᾳ) τίς οὐκ ἂν αὐτὸν φρίξειεν, τίς δὲ οὐκ ἂν αἰδεσθείη, ὁμοῦ μὲν τοὺς νόμους, ὁμοῦ δὲ τὰ ὅπλα θεωρῶν εἰς ταυτὸ συνιόντα; καὶ αὐτόθεν αἱρέσεως προκειμένης ἢ κατακοῦσαι τῶν νόμων, καὶ θαρρεῖν τε καὶ σώζεσθαι, ἢ μόνον ἀντιβλέψαντας, εὐθὺς ἀπολωλέναι, τῶν ὅπλων ἐγγύθεν ἐπικουρούντων τοῖς νόμοις; δεῖ τοίνυν τὸν τὴν ἀρχὴν παραλαμβάνοντα ταύτην (προῖκα δὲ αὐτὴν αὐτῷ δίδομεν ἀεί, καὶ ἐπ' οὐδενὶ παντελῶς μισθῷ· ὅπως ἂν καὶ αὐτὸς ἀδωρότατος μένοι, καὶ τοῖς ἐκ τοῦ δημοσίου μόνοις ἀρκούμενος· τοῦτο γὰρ καὶ ὁ πρῶτος ἡμῶν λέγει νόμος) οὕτω χρῆσθαι τοῖς ὑπηκόοις ὡς ἐν τῷ προτέρῳ διετυπωσάμεθα νόμῳ, δικαίως τε καὶ καθαρῶς, καὶ μετὰ τοῦ δραστηρίου φιλανθρώπως· καὶ ἀνδροφονίας γε καὶ μοιχείας ἐξελαύνειν τῆς χώρας, καὶ παρθένων ἁρπαγάς, καὶ ἀδικίαν ἅπασαν· καὶ τοὺς ταῦτα πλημμελοῦντας κατὰ τοὺς ἡμετέρους κολάζειν νόμους. καὶ ἐρυθριᾶν γε μηδὲ ἕνα τῶν ἀδικούντων, κἂν εἰ τῶν μειζόνων εἴη, μηδὲ ὑποκατακλίνεσθαι τοῖς ὠφελεῖν μὲν οὐδὲ ὁπωσοῦν, προφάσεις δὲ ἀσεβείας παρέχεσθαι δυναμένοις· ἀλλὰ διὰ πάντων τηρεῖν τὸ δίκαιον, καὶ ἀποβλέπειν εἰς τοὺς ἡμετέρους νόμους, καὶ δικάζειν κατ' αὐτούς, καὶ τοὺς ὑπηκόους τοὺς ἡμετέρους κατ' ἐκείνους ποιεῖν ζῆν τε καὶ πολιτεύεσθαι, καὶ πρὸς Θεὸν ἀφορᾶν, καὶ τὸ ἡμέτερον δέος· ἕτερον δὲ μηδὲν παντάπασιν ἐννοεῖν. ὥστε μηδὲ ἐκ τῆς ἐπαρχίας φοιτᾶν ἐνταῦθα συχνούς, καὶ ἐπὶ πράγμασι μετρίοις ἡμᾶς ἐνοχλεῖν· ἀλλ' αὐτὸν πρότερον ἀκροᾶσθαι πάντων, καὶ διακρίνειν αὐτά, καὶ μεμνημένον τῆς σεμνότητος ἣν αὐτῷ δεδώκαμεν, οὕτω χρῆσθαι τῷ πράγματι ὡς ἀνυπεύθυνον ἑαυτῷ τὴν ἀρχὴν γενέσθαι· γινώσκοντα ὡς εἴπερ τις αὐτῷ προσελθών, εἶτα μὴ τύχοι τῶν δικαίων, καὶ ἀναγκασθείη ταῦτα ἡμῖν προσαγγέλλειν, ὁ ἀγὼν αὐτῷ τὸ λοιπὸν πρὸς ἡμᾶς ἔσται. ἡμεῖς γὰρ ὥσπερ αὐτὸν τετιμήκαμεν τῇ τῆς ἀρχῆς αὐξήσει, οὕτως, εἴπερ αὐτὸν εὕροιμεν ἀναξίως τοῦ ἡμετέρου σκοποῦ χρώμενον τοῖς παραδεδομένοις αὐτῷ, Θεῷ τε ὑπηρετούμενοι, καὶ τοῖς νόμοις ἀμύνοντες, προσηκόντως αὐτὸν μετελευσόμεθα, εἴτε εὕροιμεν ἢ κλέπτοντα τυχόν, ἢ χάριτος ἢ ἀπεχθείας ἡττημένον, ἢ τοὺς ἡμετέρους παραβαίνοντα νόμους. βουλόμενοι γὰρ τὸ ὑπήκοον ἐπανορθῶσαι, καὶ τὰ μέχρι νῦν θεραπεῦσαι κακά, χρημάτων γε ὑπερείδομεν μεγάλων, καὶ πρὸς ταύτην ἰδεῖν τὴν διατύπωσιν ἐσπεύσαμεν.

Δεῖ δὲ αὐτὸν μὴ μόνον τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων προνοεῖν, ἀλλὰ καὶ αὐτῆς κήδεσθαι τῆς τῶν πόλεων ἀφθονίας, καὶ τοῦ μηδὲν τοῖς πολίταις ἐκλείπειν. ἐπισκοπεῖν δὲ καὶ τὰ τῶν πόλεων ἔργα, καὶ μὴ συγχωρεῖν μηδὲ κατὰ τοῦτο αὐτὰς ἑαυτῶν ἐλάττους γίνεσθαι· ἀλλὰ καὶ τοὺς τῶν ὑδάτων ὁλκοὺς καὶ γεφύρας καὶ τείχη καὶ ὁδοὺς σπουδῇ ἐπανορθοῦν· καὶ μὴ συγχωρεῖν τοῖς ἐκεῖσε φοιτῶσι πράκτορσι τοὺς ἡμετέρους ὑπηκόους κατά τι βαρύνειν· μηδὲ ταύτας δὴ τὰς ἐξ ἔθους πο-

Universidad Carlos III de Madrid. Biblioteca

[illegible] γινομένας προστάξεις παραλαμβάνει, ὅσαι περὶ τειχοποιίας τε καὶ ὁδοστρωσίας, καὶ ἄλλας μυρίας αἰτίας παρὰ φάσιν ἐκ τῶν θρόνων τῆς σῆς ὑπεροχῆς. τούτων γὰρ ἁπάντων ἕνεκεν, καὶ εἴ τι τοιοῦτον ἕτερον, οὐδενὶ συγχωρήσει τοὺς ὑπηκόους τοὺς ὑμετέρους ἀδικεῖν· οὐδὲ προσελεύσεται ψῆφος τῶν θρόνων τῶν σῶν τοιοῦτό τι λέγουσα· (καὶ γὰρ ἤδη τοῦτο κεκωλύκαμεν) ἀλλ' αὐτὸς μὲν ἁπάντων ἐπιμελήσεται· εἰ δέ τινα ἡμεῖς κατὰ θεῖον ἡμῶν πραγματικὸν τύπον στείλαιμεν, ὃν ἴσως πρὸς τὴν σὴν καταπέμψομεν ἀρχήν, ἐκεῖνος προσεξετάσει τὸ παρ' ἡμῶν ἐγκρινόμενον· ἕτερα δὲ οὐδενὶ παντελῶς ἄδεια γενήσεται λεηλατεῖν τὸ ὑπήκοον. ὅπως δὲ τὰς ἐπαρχίας ἴδοιμεν πάλιν ἀνθρώπων μεστάς, πάλιν τοῖς ἑαυτῶν πολίταις κομώσας, καὶ μὴ συρρέον ἐνταῦθα πλῆθος ἀνθρώπων, εἰς τὴν ἑαυτῶν γῆν ἐπανελθεῖν διὰ τὴν τῶν ἀρχόντων κακίαν μὴ θαρρούντων. Διὰ τοῦτο τοίνυν θεσπίζομεν, τὴν σὴν ὑπεροχὴν μηκέτι διῃρημένας ἔχειν τὰς τοῦ Πισιδῶν ἔθνους ἀρχάς, ἀλλὰ μίαν εἶναι τὴν ἐν αὐτῇ τοῦ περιβλέπτου πραίτωρος ἀρχήν, αὐτὴν μὲν στρατιωτικήν, αὐτὴν δὲ πολιτικὴν καθεστῶσαν· καὶ ὁμοίως μὲν τῶν δημοσίων τε καὶ πολιτικῶν φροντίζουσαν, ὁμοίως δὲ τῶν στρατιωτῶν ἡγουμένην, ὥστε τῇ δι' ἀλλήλων βοηθείᾳ καὶ τὴν ἀρχὴν ἐκ τῶν ὅπλων ἰσχυρὰν εἶναι, καὶ τὴν ὁπλίζουσαν τάξιν κεκαλλωπίσθαι τῷ νόμῳ. οὐδὲ γὰρ ἔτι στάσις ἔσται κατὰ τὰς πόλεις, ἀνδρὸς ἐφεστῶτος τοιούτου τὸ λοιπόν, ὃς ἄξιος ἡμῖν ἑκατέρας ἀρχῆς νενόμισται.

Πάντα τοίνυν ὁπόσα τὸ δημόσιον ἐνοχλεῖ, ταῦτα, κατὰ τὴν ὑποτεταγμένην ἀπογραφὴν τῷδε τῷ θείῳ ἡμῶν νόμῳ, δίδοσθαι τῷ περιβλέπτῳ κελεύομεν πραίτωρι, καὶ τοῖς ἀμφ' αὐτόν· ὥσπερ προσκεῖσθαι καὶ τὸ τῆς θείας ἡμῶν προσηγορίας βουλόμεθα σύμβολον· καὶ ἔστω πραίτωρ Ἰουστινιανός, ὁ Πισιδίας γινόμενος ἄρχων. ὑπακουέτω τε ἡ πραιτωριανὴ τάξις αὐτῷ, γινομένη ἐκ προβατορειανῶν, καθάπερ εἰπόντες ἔφθημεν· ὁμοίως δὲ καὶ τοῖς πολιτικοῖς καὶ τοῖς στρατιωτικοῖς ἀνθρώποις τε καὶ πράγμασιν ἐνησχολημένη. καὶ πρός γε ἡ τῶν δημοσίων εἰσπράξις τὸν ἄρχοντα τοῦτον τήν τε τάξιν ὄψεται τὴν αὐτοῦ· καὶ πάντα ἕξει τὰ τῆς ἀρχῆς παράσημα, ὁπόσα καὶ νῦν ἔχει, δίφρον τε ἐξ ἀργύρου, καὶ πέλεκυν, καὶ ῥάβδους· ἕξει τε ἐπὶ τοῖς στρατιώταις, καὶ ad responsum. καίτοιγε καὶ αὐτόθεν αὐτῷ δίδομεν τὴν τῶν ἐν τῇ χώρᾳ ταύτῃ στρατιωτῶν ἡγεμονίαν· ὥστε αὐτοὺς καὶ κοσμεῖν καὶ τάττειν, καὶ παρασκευάζειν ἐπεξιέναι μὲν τοῖς λῃστεύουσιν, ἡμέρους δὲ καὶ σώφρονας τοὺς ὑπηκόους πρὸς ἀλλήλους ἀποτελεῖν· καὶ μήτε τὰς πόλεις στασιάζεσθαι συγχωρεῖν, μήτε τοὺς κόμητας ἀπαυθαδιάζεσθαι πρὸς τὸ δημόσιον· ἔχειν τε ἐφ' ἅπασι τὴν ἐξουσίαν, ἐξῃρημένου παντελῶς οὐδ' ἑνός. εἶναι δὲ καὶ ταύτην τὴν ἀρχὴν ἐν ταῖς μέσαις τεταγμένην, καὶ ἐν τῷ τῶν περιβλέπτων ἀρχόντων ἀριθμῷ γεγραμμένην. ὥστε ὅσα ἐπὶ τῶν πάλαι μὲν βικαρίων, νῦν δὲ κομήτων Ἰουστινιανῶν τῆς τε Πακατιανῆς Φρυγίας, τῆς τε πρώτης Γαλατίας ἐστί, καὶ τοῦ περιβλέπτου κόμητος τῆς ἕω, καὶ τῶν περιβλέπτων ἀνθυπάτων, ταῦτα καὶ ἐπ' αὐτῷ καθεστάναι, καὶ εἶναι αὐτὸν περίβλεπτον ἄρχοντα· καὶ τὰς ἐφέσεις τὰς παρ' αὐτοῦ γινομένας, ἐνταῦθα στέλλεσθαί τε καὶ ἐξετάζεσθαι, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων τῶν σπεκταβιλίων ἀρχόντων· εἰσάγεσθαί τε ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων, συνακροωμένου τῆς ὑποθέσεως καὶ τοῦ ἐνδοξοτάτου κυαίστωρος τοῦ θείου ἡμῶν παλατίου. διότι τὴν ἀρχήν, εἰ καὶ τὴν στρατιωτικὴν εἶχεν, ἀλλ' οὖν ὅλην πρὸς τὸ νομιμώτερον μεταβαλοῦσαν σχῆμα, δεῖ ταύτην ἔχειν ἀναγκαίως τὴν τάξιν τὴν μέχρι νῦν ἐπὶ τῶν σπεκταβιλίων ἀρχόντων πεφυλαγμένην, κατὰ τὸ κεκρατηκὸς αὐτῶν ἔθος. Ἐπειδὴ δὲ

Universidad Carlos III de Madrid. Biblioteca

ἔναγχος θείαν διάταξιν γράψαντες, τὰς ἄχρι πεντακοσίων νομισμάτων ἐφεσίμους δίκας, ἃς ὑπὸ τοῖς περιβλέπτοις ἄρχουσιν ἐν τάξει θείου δικαστηρίου κατεξετάζεσθαι νενομοθετήκαμεν· θεσπίζομεν, εἰ τοιαύτη τις γένοιτο δίκη, κατὰ τὴν Πισιδίαν μέντοι μόνον, εἴτε ἐκ παραπομπῆς ἡμετέρας, εἴτε ἔκ τινος τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων (εἰ μὴ περίβλεπτος ὁ δεδομένος εἴη δικαστὴς) μὴ πρὸς τὸν περίβλεπτον Ἰουστινιανὸν κόμητα τῆς Πακατιανῆς Φρυγίας (τοῦτο γὰρ πρώην νενομοθετήκαμεν) φοιτᾶν, ἀλλ' ἐπ' αὐτὸν φέρεσθαι τὴν ἔφεσιν τῆς ἐπαρχίας τῆς αὐτοῦ· αὐτόν τε αὐτῆς ἀκροᾶσθαι κατὰ θείου ἀκροατηρίου σχῆμα (καὶ γὰρ δὴ καὶ τούτῳ σεμνυνόμενον τὴν ἀρχὴν) αὐτόν τε αὐτῇ τέλος ἐπιτιθέναι θεσπίζομεν τύπον, οὐκ ἀναπεμπομένοις πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν· ὅπως ἂν μὴ μικρῶν ἕνεκεν προφάσεων μεγάλας οἱ δικαζόμενοι ταραχάς τε καὶ ζημίας ὑπομένοιεν. ὅπως δὲ ἂν εἰδεῖεν καὶ οἱ παραλαμβάνοντες τήν τε τοῦ πραίτωρος ἀρχήν, τάς τε ἄλλας τὰς παρ' ἡμῶν ἐξευρημένας τε καὶ ἐξευρησομένας, καθ' ὅντινα προσήκει τρόπον διακυβερνᾶν τὰς ἀρχάς, συνείδομεν μὴ μόνον αὐτοῖς παρέχειν τὰ σύμβολα τῆς ἀρχῆς ἐν τοῖς καλουμένοις κωδικέλλοις, ἀλλὰ καὶ ἐγγράφειν τὸν τρόπον καθ' ὃν διοικῆσαι τὴν ἀρχήν· ἅπερ οἱ πρὸ ἡμῶν νομοθέται mandata principis ἐκάλουν. ὥστε αὐτοὺς πρὸς ταῦτα ἀποβλέποντας, τὴν οἰκείαν ἀπευθύνειν ἀρχήν, καὶ ταύτῃ τοῖς ἡμετέροις ὑπηκόοις διὰ πάντων ὠφελεῖν. συγγράψαι καὶ ἀποτεθῆναι κατὰ τὸ θεῖον ἡμῶν λατέρκουλον τὰ τοιαῦτα θεῖα μανδάτα διεκελευσάμεθα· ὅπως ἂν ἅμα τοῖς κωδικέλλοις διδοῖτο τοῖς ἄρχουσι, τόν τε ὅρκον παρεχομένοις ὃν ἐπὶ τῆς θείας ἡμῶν διατάξεως ἐγράψαμεν, τά τε ἄλλα ἅπαντα οὕτω διοικουμένοις ὡς ἡμεῖς ἐτάξαμεν. ὑποτεθήσεται δὲ καί τις ἀπογραφὴ παρ' ἡμῶν τῷδε τῷ θείῳ νόμῳ, δηλοῦσα τί μὲν προσῆκόν ἐστι διδόμενον παρέχειν προφάσει τῶν τῆς ἀρχῆς συμβόλων, εἴτε ἐν τῷ θείῳ λατερκούλῳ, εἴτε ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων· τί δὲ τὸ διδόμενον αὐτῷ τε καὶ τῷ παρέδρῳ καὶ τοῖς περὶ αὐτόν· οὕτω τε τῆς παρ' ἡμῶν περὶ τὰς ἀρχὰς προνοίας ἅπασι φανερᾶς γινομένης, ἐκεῖνον ἡμῖν καθαρὰν καὶ πανταχόθεν δεδοκιμασμένην τὴν ἑαυτοῦ παρέχειν ὑπουργίαν. τοῦτον δὲ δὴ τὸν νόμον δείξειε μὲν ἅπασιν ἡ τῶν θείων ἡμῶν διατάξεων ἀνάγνωσις (καὶ γὰρ δὴ καὶ τοῦτον ἐκδόσει γραφῆναι παρεκελευσάμεθα) αὐτὸς δὲ εἰς ἔργον ἄξεις, ὅπως ἂν μένῃ διὰ παντὸς ἐν αὐτοῖς τοῖς ἔργοις ἐκλάμπων τε καὶ φαινόμενος. DAT. XV. K. IVN. CONSTANTINOP. BILIS. V. C. CONS.

Δεῖ παρέχεσθαι τῷ πραίτωρι Πισιδίας, αὐτῷ μὲν ὑπὲρ ἀννόνων καὶ καπίτων, καὶ λοιπῆς παραψυχῆς, sol. CCC. τῷ αὐτοῦ παρέδρῳ, sol. LXXI. τῇ αὐτοῦ τάξει, auri lib. II. Δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως. τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου, sol. IX. τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων, καὶ τοῖς λατερκουλισίοις, sol. XXV. τῷ αὐτοῦ βοηθῷ, sol. III. τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων, ὑπὲρ προστάγματος, καὶ πάσης ἑτέρας αἰτίας, sol. X.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τοῦ πραίτωρος Λυκαονίας. Διάταξις κε.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΤΟ Λυκαόνων ἔθνος μείζονι τῆς νῦν οὔσης ἀρχῆς κατακοσμῆσαι δίκαιοι ᾠήθημεν, ἀποβλέποντες εἰς τὰς παλαιὰς ἀρχὰς ὅθεν αὐτὸ συστῆναι παραδεδώκασιν ἡμῖν οἱ τὰ παλαιὰ συγγράφοντές τε καὶ διηγούμενοι· καὶ ὅτι συγγενές πώς ἐστι Ῥωμαίοις, καὶ σχεδὸν ἐκ τῶν αὐτῶν συνῳκισμένοι προφάσεων. Λυκάονι γὰρ τῷ πάλαι Ἀρκαδίας τῆς ἐν Ἑλλάδι βεβασιλευκότι, καὶ τὴν Ῥωμαίων οἰκῆσαι γέγονε γῆν, καὶ τοὺς πρώην Οἰνώτριας προσλαβόντι, τῇ Ῥωμαίων ἀρχῇ δοῦναι προοίμιον (φαμὲν δὲ ταῦτα δὴ τὰ παλαιά, τὰ πολλῷ τῶν Αἰνείου τε καὶ Ῥωμύλου χρόνων πρεσβύτερα) καὶ ἀποικίαν ἐπὶ τὰ τῇδε στείλαντι μέρη, μοῖράν τινα τῆς Πισιδίας ἀφελέσθαι, ταύτῃ τε δοῦναι τὴν αὐτοῦ προσηγορίαν, Λυκαονίαν τε ἐξ αὐτοῦ καλέσαι τὴν χώραν. δίκαιον τοίνυν ἂν εἴη καὶ αὐτὴν ἀρχὴν κατακοσμῆσαι, τὰ παλαιὰ τῆς Ῥωμαϊκῆς τάξεως ἐπιγραφομένην σύμβολα· καὶ τοὺς αὐτῆς νῦν ἡγουμένους (τόν τε ἄρχοντα φαμὲν τὴν πολιτικὴν ἀρχήν, τόν τε ἐφεστῶτα τοῖς ὅπλοις) εἰς ἕν τι συναγαγεῖν, καὶ τῇ τοῦ πραίτωρος κοσμῆσαι προσηγορίᾳ. ὄνομα γὰρ τοῦτο πάτριον τῇ Ῥωμαίων ἀρχῇ, καὶ πρό γε αὐτῶν τῶν ὑπάτων κατὰ τὴν μεγάλην τῶν Ῥωμαίων πολιτευσαμένων πόλιν. Ῥωμαῖοι γὰρ οἱ πάλαι τοὺς σφῶν αὐτῶν στρατηγοὺς πραίτωρας ὠνόμαζον, τῶν στρατευμάτων τε ἡγεῖσθαι παρεῖχον, καὶ τοῖς ὑπ᾽ αὐτοῦ γραφομένοις ἐπείθοντο νόμοις· καὶ ἦν ἀρχή τις ἐξ ἀμφοῖν κεκραμένη, καὶ ἐν ἑαυτῇ περιφέρουσά τε καὶ δεικνῦσα τήν τε ἐν ταῖς παρατάξεσιν ἰσχύν, τήν τε ἐν τοῖς νόμοις εὐκοσμίαν. ἐπεὶ τοίνυν κἀνταῦθα σκοπὸς ἡμῖν εἰς ἕν τι συναγαγεῖν ἀμφοτέρας, διὰ τοῦτο εἰκότως αὐτῇ καὶ τὴν τοῦ πραίτωρος δίδομεν προσηγορίαν. ὅπως ἂν συνεισέρχοιτο ταῖς ψυχαῖς τῶν ἀκουόντων, ἅμα τῇ προσηγορίᾳ τοῦ πραίτωρος, καὶ ἡ τῆς ἀρχῆς κατάστασίς τε καὶ φύσις· καὶ ὅτι περ οὐχ ἁπλῆ τίς ἐστιν, οὐδὲ πρὸς ἓν ἀφορῶσα μόνον, ἢ τὸ τῶν ὅπλων, ἢ τὸ τῶν νόμων, ἀλλ᾽ ἑκατέραν συνεφέλκεται τάξιν, καὶ ἔστιν ἐκ μὲν τοῦ στρατιωτικοῦ σφοδρά τε καὶ ἰσχυρά, διὰ δὲ τοῦ νόμου προσηνής τε καὶ ἥμερος· καὶ κατὰ τοῦτο προσφερομένη ῥᾳδίως τοῖς μὲν ἀδικοῦσι, σφοδροτέρα, τοῖς δὲ ὑπηκόοις, νομιμωτέρα τε καὶ εὐφορωτέρα. καὶ οὐδὲ ἁπλῶς τοῦτο πραττόμενον, οὐδὲ ὀνομασίᾳ προσεχόμενον μόνον, ἀλλὰ τῇ χρείᾳ καὶ ταῖς ἀρχαῖς συμμετρούμενον. ἀνδρῶν γάρ ἐστιν ἰσχυρῶν ἡ χώρα, καὶ Ἰσαυρίας οὐδενὶ διέστηκε μέσῳ. οἷα δὲ μεσόγειός τε οὖσα καὶ ἀψίλιθος καὶ ἱππόβοτος, πολλοὺς μὲν ἄνδρας, πολλοὺς δὲ ἵππους ἐκτρέφει· κωμῶν τέ ἐστιν αὐτῇ πλῆθος μεγάλων, καὶ ἀνδρῶν ἐπιτηδείων ἱππεύειν τε καὶ τοξάζεσθαι, καὶ ῥᾳδίων πρὸς τραχυτέρας ἀνύσασθαι γνώμας, καὶ ὅπλων ἅπτεσθαι προχείρως· καὶ τῆς μὲν στρατιωτικῆς ἀρχῆς ἴσως οὐκ ἐπιστρέφεσθαι, διότι τὰ τῆς καταστάσεως αὐτῶν ἰδιωτικὴν ἐπιγράφεται τύχην, τὴν μόναις ταῖς πολιτικαῖς ἀρχαῖς ὑποκεκλιμένην· αὐτῆς δὲ δὴ πάλιν καταφρονεῖν, διότι τὸ τῶν νόμων προσὸν μόνον, μὴ μετὰ τοῦ στρατηγείου τεταγμένον, φοβερὸν οὐχ ὁμοίως τοῖς θρασυτέροις ἐστί. ταῦτα ἡμᾶς ἀνέπεισεν εἰς τὸ καὶ ταύτην μίαν ἀποφῆναι τὴν ἀρχήν, καθάπερ ἐν Πισίδαις ἐπράξαμεν· καὶ δοῦναι καὶ ταύτῃ τὴν τοῦ πραίτωρος προσηγο-

Universidad Carlos III de Madrid. Biblioteca

εἰαν, μετὰ τῆς ἐξ ἡμῶν προσθήκης. καὶ γὰρ δὴ καὶ τοῦτον, πραίτωρα Ἰουστινιανὸν Λυκαονίας προσαγορεύεσθαι βουλόμεθα, ὥσπερ δὴ καὶ Πισιδίας τὸν ἄλλον· τάξιν τε ἑκατέραν εἰς ταὐτὸ συναγαγόντες, ἥτε ὁ πολιτικὸς ἥτε ὁ στρατιωτικὸς ἄρχων ἐφέστηκε. πραιτωριανὴν δὲ καὶ ταύτην ὀνομάζομεν, ἐκ προσβατορειῶν ἐντεῦθεν κατὰ τὸ νενομισμένον προϊουσῶν γινομένην, ἐξ οὗ καὶ πρῶτοι δουκικοὶ ταύτας ἐκομίζοντο, τοῦ θείου τῶν λιβέλλων σκρινίου. καὶ εἰς ἄνδρας ἑκατὸν τὸν ἀριθμὸν αὐτῇ συμμετροῦμεν, καὶ δίδομεν αὐτῷ τὰς ἑκατέρας ἀρχῆς σιτήσεις, παρέδρῳ τέ καὶ τοῖς λοιποῖς· ἅπερ φανερὰ καταστήσομεν ἐκ τῶν ὑποκειμένων ἀπογραφῶν τῇδε τῇ θείᾳ ἡμῶν διατάξει. ἐχέτω γε μὴν καὶ ad responsum, ἤτοι ἀποκρισιαρίους, πρὸς τὴν στρατιωτικὴν εὐκοσμίαν. καίτοι γε καὶ ἄλλως αὐτὸν ἄρχειν τῶν ἐπὶ τῆς εἰρημένης ἐπαρχίας ἱδρυμένων στρατιωτῶν θεσπίζομεν. καὶ στέλλομέν γε τὸν τῆς ἀρχῆς ἀντιληψόμενον ταύτης, τῶν παρ' ἡμῖν εὐδοκιμούντων ἕνα, τῶν ἐκ τοῦ καταλόγου τῶν ἡμετέρων ἀρχόντων, ὅθεν καὶ τὸ παλαιὸν οἱ πραίτωρες ἐξεφοίτων, καὶ τοῖς σφῶν αὐτῶν πόνοις τὴν πολιτείαν ἐκόσμουν, ποτὲ μὲν ἐπὶ τῆς Ἰταλιώτιδος μένοντες γῆς, ποτὲ δὲ ἐπὶ τοὺς ἔξω τόπους στελλόμενοι. ἔστω γὰρ ὁ τοιοῦτος αὐτὸς ἑαυτοῦ μεμνημένος ἀεί, καὶ ὅθεν αὐτῷ τὰ τῆς ἀρχῆς συνέστηκε, σεμνός τε τοῖς ὑπηκόοις, φοβερός τε τοῖς λῃστεύουσι καὶ ἀδικοῦσι, καὶ μετὰ πλείονος παρρησίας ἅπαντα πράττων. πρόδηλον γὰρ ὡς καθαραῖς μὲν χρήσεται ταῖς χερσίν· ἐπεὶ καὶ ἄμισθον παραλαμβάνει τὴν ἀρχήν. καὶ ἄλλως ὁ παρ' ἡμῶν τεθεὶς ἔναγχος νόμος ἁπάσαις ταῖς ἀρχαῖς ταῖς ἐγγεγραμμέναις αὐτῷ σαφῶς ἐπιτάττει χειρῶν τε κρατεῖν (ἐφ' ᾧ δὴ καὶ τὸν ὅρκον ὑπέχουσι) καὶ κατὰ τοὺς ἡμετέρους νόμους δικάζειν τε, καὶ νέμειν τοῖς ὑπηκόοις ἰσότητά τε καὶ δικαιοσύνην. οὕτω καὶ οἱ πάλαι Ῥωμαῖοι τὸ πολίτευμα κατακοσμήσαντες, πάσης ἑτέρας πολιτείας ἐκράτουν. τίς γὰρ οὐκ ἂν τὴν ἀρχὴν ταύτην αἰδεσθείη τε ἅμα καὶ φρίξειεν, ὁρῶν αὐτὴν ὑπὸ διπλοῦ σχήματος φρουρουμένην; καὶ ῥᾳδίως μὲν τὰ ἐκ τοῦ νόμου διαπράττουσαν, ῥᾷστα δέ, εἴ τι παραβαθείη τοῦ νόμου, τοῦτο τοῖς ὅπλοις ἐπανορθοῦσαν; Ἅπερ δὲ τῷ κατὰ Πισιδίαν προηγόρευται πραίτωρι, κατὰ τὸν περὶ ἐκείνου γεγραμμένον νόμον, ταῦτα καλῶς ἔχειν ᾠήθημεν προσαγορεῦσαι καὶ τούτῳ. δεῖ γὰρ αὐτὸν τὴν ἀρχὴν παραλαμβάνοντα ταύτην, πανταχόθεν ἄμισθον οὖσαν, καὶ αὐτὸν ἀδωρότατον εἶναι· καὶ ἀρκεῖσθαι μόνοις οἷς τὸ δημόσιον δίδωσι· καθὰ καὶ ὁ περὶ τῶν ἀρχῶν ἤδη τεθειμένος διαλέγεται νόμος, καθαρῶς τε καὶ δικαίως χρῆσθαι τοῖς πράγμασι· καὶ ὥσπερ αὐτῷ μεμιγμένα τὰ τῆς ἀρχῆς ἐστιν, οὕτως αὐτῷ καὶ τὴν τῆς ψυχῆς ἁρμονίαν κεκρᾶσθαι, ποτὲ μὲν ὀξυτέροις τε καὶ ἐπιτεταμένοις, ποτὲ δὲ πρᾳοτέροις τε καὶ ἀνειμένοις τοῖς φθόγγοις. καὶ μισείτω μὲν ἅμα τε κολαζέτω μοιχείαν ἅπασαν, καὶ πρός γε ἐκείνοις, ἀνδροφονίαν· καὶ ἔτι σφοδρότερον τὰς τῶν παρθένων ἁρπαγάς. καὶ τοὺς ἀδικοῦντας, εἰ μὲν ἀθεράπευτα νοσοῖεν, καθάπαξ κολαζέτω· εἰ δὲ μετριώτερα, πρὸς τὸ κρεῖττον μεθαρμοζέτω. ἐρυθριάτω δὲ τῶν ἀδικούντων μηδένα, κἂν εἰ πλουτοίη, κἂν εἴ τινος ἀξίας ἐπειλῆφθαι μείζονος. διὰ τοῦτο γὰρ δὴ καὶ ἐκ τῶν σεμνοτέρων αὐτὸν καταλόγων στέλλομεν, ὅπως ἂν οἴκοθεν ἔχοι τὸ μηδενὶ προσέχειν ἑτέρῳ, πλὴν ἡμῖν τε καὶ τοῖς νόμοις· καὶ δικάζειν μὲν κατ' ἐκείνους, τὸ δὲ ὑπήκοον ἁρμόζειν εἰς τὸ κατ' αὐτοὺς πολιτεύεσθαι. καὶ μηδὲ ῥᾳθυμεῖν, μήτε ἀδικεῖν· ὥστε μή τινας ἐκ τῆς ἐπαρχίας ἧς ἄρχει, καταλιμπάνειν μὲν τὴν χώραν, διὰ τὰς ἀδικίας τὰς ἐκεῖσε, συνεχῶς δὲ ἡμῖν ἐνοχλεῖν. ἀλλ' αὐτὸς ἀκροατὴς γινέσθω πρότερον τῶν προσαγγελλομένων, καὶ ταῦτα διακρινέτω,

Universidad Carlos III de Madrid. Biblioteca

καὶ ἀεὶ μεμνήσθω τῆς παραδεδομένης αὐτῷ παρ' ἡμῶν τιμῆς, καὶ οὕτω χρήσθω τοῖς ἀρχικοῖς πόνοις, ὡς ἐπαινετὴν αὐτῷ καὶ ἀνυπεύθυνον γενέσθαι τὴν ἀρχήν· ἐκεῖνο σαφῶς ἐπιστάμενος, ὡς εἰ μέν τις ἔλθοι πρὸς ἡμᾶς, μὴ προσαγγείλας αὐτῷ τὰ οἰκεῖα πάθη, καὶ ἀποπειραθεὶς εἴγε τύχοιμεν τῶν δικαίων, τοῦτον αὐτῷ πέμψομεν, ἀποκρίσεως αὐτῷ μεταδόντες οὐδεμιᾶς· εἰ δὲ προσαγγείλειεν, εἶτα τῶν δικαίων μὴ τυχὼν, εἰς ἡμᾶς καταδράμοι, τότε ἡμεῖς οὐκ ἐκείνῳ τὸ λοιπὸν, ἀλλ' αὐτῷ τῷ τὴν ἀρχὴν ἔχοντι δικασταὶ γενησόμεθα· καὶ ὥσπερ αὐτῷ μείζονα πεποιήκαμεν τὴν τιμὴν, οὕτω καὶ εἴπερ εὕροιμεν ῥαθυμοῦντα, καὶ τοῖς παραδεδομένοις ἀμελῶς χρώμενον, ἀμυνούμεθα τοῖς νόμοις, καὶ προσηκόντως αὐτὸν μετελευσόμεθα. καὶ εἴπερ ἐκεῖνος οὔτε τοὺς ἡμετέρους λόγους, οὔτε τοὺς νόμους, οὔτε τὸ τῆς ἀρχῆς ἐρυθριᾷ σχῆμα, οὕτως οὐδὲ ἡμεῖς αὐτὸν ἐρυθριάσομεν, ἀλλ' ἀπαντήσομεν αὐτῷ καθ' ὃν αὐτὸς τρόπον τοῖς τῆς ἀρχῆς πράγμασι χρήσηται. καὶ εἴτε χερσὶν οὐ καθαραῖς αὐτὸν χρώμενον λάβοιμεν, ἢ πρός τι πάθος ἀποβλέποντα, ἢ τοὺς ἡμετέρους παραβαίνοντα νόμους, ἡμεῖς αὐτῷ κατὰ νόμον ἐπιστήσομεν τὰς εὐθύνας. οὐδὲ γὰρ χρημάτων ἐφεισάμεθα, οὐδὲ ἑτέρου τῶν πάντων οὐδενὸς, ἵνα τὸ ὑπήκοον περισώσωμεν. Δεῖ δὲ αὐτὸν καὶ τῆς τῶν πόλεων εὐκοσμίας προνοεῖν· καὶ πρῶτον μὲν στάσεως ἀπαλλάττειν τὰς ὑπ' αὐτῷ τεταγμένας πόλεις, τὴν ἰσότητα πανταχοῦ διασώζοντα, καὶ τοῦ μηδὲν τοῖς ὑπηκόοις ἐνδεῖν παντὶ τιθέμενον πρόνοιαν· ἀλλὰ μηδὲ τῶν ἔργων τῶν πόλεων ἀμελεῖν, ὅπως ἂν μηδὲ κατὰ τοῦτο βλάπτοιντο· μηδὲ οἱ τῶν ὑδάτων ὁλκοὶ, μηδὲ αἱ τῶν γεφυρῶν πάροδοι, μηδὲ ἡ τῶν τειχῶν ἀσφάλεια, μηδὲ ἡ τῶν ὁδῶν ἐπιμέλεια· ἀλλὰ πάντα ἐπανορθοῦν, ἢ καὶ εἰς ἡμᾶς μηνύειν, ὅπως ἂν τὰ μὲν ἐκ τῶν πολιτικῶν πόρων, τὰ δὲ ἐξ ἡμῶν ἐπανορθοῦν ἰσχύσειε. παρατηρεῖν δὲ τὸ μηδὲ τοῖς ἐκεῖσε φοιτῶσιν ἐκ τῶν ἀρχόντων πράκτορσιν ἄδειαν εἶναι τοὺς ἡμετέρους ὑπηκόους κατά τι ζημιοῦν ἢ βαρύνειν· μηδὲ ταύτας δὴ τὰς συνειθισμένας ἐπιφερομένους προστάξεις, ἅσπερ προφάσει ἐκ τῶν σῶν προήεσαν θρόνων, πορθοῦσαι τοὺς ἐν μετριότητι ζῶντας, καὶ ἐπιτάττουσαι ποτὲ μὲν τειχῶν ἐπισκευὰς, ποτὲ δὲ ὁδῶν ἐπιμελείας, ποτὲ δὲ εἰκόνων τε καὶ γεφυρῶν καὶ λιμένων καὶ ὁλκῶν δημοσίων ἀνανεώσεις, καὶ τόπων δῆθεν δημοσίων ἀφαιρέσεις, καὶ οἰκημάτων, ὡς οὐκ ἐν δέοντι κτισθέντων, καταστροφὰς, καὶ ἕτερα τούτων ἔτι προχειρότερα πρὸς συκοφαντίαν. ἀλλ' αὐτὸς μὲν τούτων ποιήσεται πρόνοιαν, πράττων ἅπαντα ζημίας χωρίς· εἰ δὲ συνείδοιμεν ἡμεῖς καὶ μείζονος ἐπόψεως δεῖσθαι τὸ πρᾶγμα, θείῳ πραγματικῷ χρησόμεθα τύπῳ· ὃν δὴ καὶ πρὸς τὴν σὴν ἀρχὴν, εἰ συνείδοιμεν, καταπέμψομεν, κατ' αὐτόν τε καὶ ἑτέρῳ τινὶ ταύτην ποιήσασθαι τὴν ζήτησιν. οὕτως ἀναπνεύσει ποτὲ τὸ ὑπήκοον, οὕτως ἀνθήσουσιν αὖθις αἱ πόλεις, καὶ αὔξησις τοῖς οἰκοῦσι ταύτας ὡς πλείστη γενήσεται· καὶ οὐ τὰς πατρίδας ἀποφεύξονται, καθάπερ τι τῶν φοβερωτάτων, διὰ τὴν τῶν ἀρχόντων κακίαν, οἰκεῖν ἐν τοῖς ἑαυτῶν εὐλαβούμενοι. Δεῖ τοίνυν τὴν σὴν ὑπεροχὴν εἰδέναι τὴν ἀρχὴν ταύτην μίαν τὸ λοιπὸν, ἀλλ' οὐ διπλῆν καθεστάναι. ὥστε ἅπαντα ὁπόσα τὸ δημόσιον ἐδίδου πρὸς ἑτέραν ἑκατέρᾳ τῶν ἀρχῶν, ταῦτα κατὰ τὴν ὑποτεταγμένην ἀπογραφὴν τῷδε τῷ θείῳ ἡμῶν νόμῳ δίδοσθαι αὐτῷ καὶ τοῖς ἀμφ' αὐτὸν, καὶ τῇ γε αὐτοῦ τάξει, καθὰ καὶ μέχρι νῦν ἐδίδοτο. καὶ ἡ τῶν δημοσίων εἴσπραξις αὐτῷ τε ἐπικείσεται καὶ τοῖς πειθομένοις αὐτῷ πραιτωριανοῖς ταξεώταις, τὰ παράσημά τε ἑκατέρας ἀρχῆς ἕξει, καὶ εἰ τὰ μάλιστα στρατιωτικός ἐστιν· ἀλλ' οὖν ἐπί τε ἀπήνης ἀργυρᾶς καθεδεῖται, καὶ ἡγήσεται πέλεκυς αὐτοῦ (ὑπατικῆς γὰρ δὴ καὶ τοῦτο σύμβολον ἀρχῆς) ῥάβδοι τε ὁμοίως αὐτὸν προπομπεύσουσι, θεραπεύσει τε αὐτὸν καὶ τὸ στρατιωτικὸν ἅπαν τὸ κατὰ τὴν χώραν ἱδρυμένον. ᾧ μελήσει καὶ τὸ λῃστρικὸν ἐκκόπτειν, καὶ

τοῖς ἀδικουμένοις βοηθεῖν, καὶ σώφρονας τοὺς ἡμετέρους ὑπηκόους πρὸς ἀλλήλους ἀποτελεῖν. Ἀλλ' οὐδὲ τοῖς κομήταις συγχωρήσει πρὸς τοὺς δημοσίους ἀναβαίνειν φόρους. ἐν δὲ ταῖς περιβλέπτοις ἀρχαῖς καὶ αὕτη τετάξεται. καὶ εἰ τυχὸν ὁ παραλαβὼν αὐτὴν ἀξίας εἴη μείζονος. τὸ μὲν γὰρ τῶν ἡγησομένων ἔσται τοιοῦτον ὁποῖον ἂν ἡμεῖς ἐπιτηδείως ἔχειν πρὸς τὴν ἀρχὴν ἐκρίναμεν. αὐτὴν δὲ δὴ τὴν ἀρχὴν προσῆκόν ἐστιν ἐν ταῖς περιβλέπτοις ἀριθμεῖσθαι, καθάπερ ἀνθύπατοί τε καὶ ὁ τῆς ἑῴας κόμης καὶ ὁ Γαλατίας τε καὶ ὁ τῆς Φρυγίας εἰσίν. ὥστε καὶ ἀκροάσεται δικῶν κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ καὶ χρηματικῶν καὶ ἐγκληματικῶν, καὶ τῶν ὑπὲρ ἐλευθερίας, καθάπερ καὶ πάσαις ἔξεστι ταῖς ἀρχαῖς. καὶ τάς γε ἐφέσεις τὰς κατὰ τῶν ἀποκρίσεων αὐτοῦ γινομένας ἐξετάσουσιν ἐνταυθοῖ, κατὰ τὸ πάλαι κεκρατηκός, ἐπὶ τῶν περιβλέπτων ἀρχόντων, οἵτε ἐνδοξότατοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων ὕπαρχοι, ὅ, τε ἐνδοξότατος κοιαίστωρ, τούτου τὸ ἄνωθεν παραδεδομένον. διότι πολιτικώτερα τὰ τῆς ἀρχῆς ἤδη γέγονεν, ἀναμιχθέντα τοῖς νόμοις, οὓς δὴ καὶ αὐτῶν τῶν ὅπλων ἄρχειν βουλόμεθα. Κατὰ δὲ τὸν ἔναγχος παρ' ἡμῶν τεθέντα νόμον, εἴ τις δίκη πεντακοσίων νομισμάτων οὐχ ὑπερβαίνοι ποσὸν κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ, εἶτα ἔφεσιμος παρὰ τοῦ δικάζοντος γένοιτο, ταύτης οὐχ ὁ τῆς Πακατιανῆς Φρυγίας ἄρχων, καθάπερ πρότερον εἰρήκαμεν, ἀλλ' αὐτὸς ἀκροάσεται· εἴτε ἐκ παραπομπῆς ἡμετέρας, εἴτε ἔκ τινος τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων ἡ δίκη παραδοθείη τινί, μὴ περιβλέπτῳ μέντοι καθεστῶτι· διὰ τοὺς λογισμοὺς οὓς δὴ τῇ περὶ τῶν ἐκκλήτων ἔναγχος τεθείσῃ προσεγράψαμεν διατάξει. καὶ ἔσται καὶ κατὰ τοσοῦτο σεμνός, ὅτι καὶ θεῖον ἀκροατήριον ἕξει, καὶ ἐπιθήσει τῇ δίκῃ πέρας, οὐκ ἔτι κατὰ τὸ παλαιὸν ἐνταυθοῖ στελλομένην. ὅπως ἂν μὴ διὰ μικρὰς προφάσεις, ζημιῶν μεγάλων τὸ πρᾶγμα τοῖς ἡμετέροις ὑπηκόοις ἀφορμὰς παρέχοιτο. Ταῦτα δὲ καὶ ἡμεῖς αὐτῷ ποιήσομεν φανερά. διεσπουδάσαμεν γὰρ τῷ ἡμετέρῳ κράτει μὴ μόνον αὐτοῖς παρέχειν τὰ σύμβολα τῶν ἀρχόντων ἐκ τῶν καλουμένων κωδικέλλων, ὁποῖα τοῖς σπεκταβιλίοις ἄρχουσιν ἐπιδίδοται· ἀλλὰ καὶ ἐκ τῶν βασιλικῶν παραγγελμάτων, ἅπερ mandata principis οἱ πρὸ ἡμῶν ἐκάλουν βασιλεῖς τε καὶ νομοθέται. ἅπερ γράψαντες ἡμεῖς ἀποτεθῆναι κατὰ τὸ θεῖον ἡμῶν λατέρκουλον παρεκελευσάμεθα· ὅπως ἂν ἐκεῖθεν ἀεὶ διδοῖντο ταῖς ἀρχαῖς ἅμα τοῖς κωδικέλλοις· καὶ οἱ μὲν αὐτοῖς διδοῖεν τὴν ἀρχήν, τὰ δὲ τὸν ἐκείνης ῥυθμίζοι τρόπον. Ἐκ δὲ δὴ τῆς ὑποκειμένης ἀπογραφῆς τῷδε τῷ θείῳ ἡμῶν νόμῳ δῆλον ἔσται τί μὲν προσῆκόν ἐστιν αὐτὸν γινόμενον προφάσει τῶν τῆς ἀρχῆς παρέχειν συμβόλων, τί δὲ αὐτῷ τε καὶ παρέδρῳ καὶ τοῖς περὶ αὐτὸν χορηγεῖσθαι. εἰ δὲ καί τινας ἄρχοντας τῶν πλησίον αὐτοῦ ἐπαρχιῶν ἀμελοῦντας εὕροις περὶ τὸ δημόσιον, οὐχ ἕτερον ἐκπέμψεις, ἀλλ' αὐτοῖς τοῖς σπεκταβιλίοις ἄρχουσιν ἐνοχλήσεις, ὥστε αὐτοὺς ἐπιτεθῆναι τοῖς ἐκ γειτόνων ἄρχουσιν, εἰ ῥαθυμοῖεν, καὶ παρασκευάζειν ταῦτα πᾶσιν εἰσκομίζειν τρόποις. Τὸν τοίνυν παρόντα νόμον ἡμεῖς μὲν ἀποτεθῆναι τῷ τῶν θείων ἡμῶν διατάξεων παρεσκευάσαμεν βιβλίῳ· αὐτὸς δὲ δεξάμενος, κατ' αὐτὸν ἅπαντα πράξων, ἀθάνατον ἀεὶ παρέξοντα τῆς ἡμετέρας εὐεργεσίας τὴν μνήμην. DAT. XV. K. IVN. CONSTANTINOP. BILIS. V. C. CONS.

Δεῖ παρέχεσθαι τῷ πραίτωρι Λυκαονίας οὕτως. αὐτῷ μὲν ὑπὲρ ἀννόνων καὶ καπιταπιόνων, καὶ λοιπῆς παραψυχῆς, sol. CCC. τῷ αὐτοῦ παρέδρῳ, sol. LXXII. τῇ αὐτοῦ τάξει auri lib. II. Δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως.

τοῖς

Universidad Carlos III de Madrid. Biblioteca

τοῖς περιβλέπτοις χαρτουλαρίοις περὶ τοῦ θείου κουβουκλείου, fol. VIII. Περὶ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων, καὶ τοῖς λατερκουλισίοις, fol. XXIIII. Περὶ αὐτοῦ βοηθῷ, fol. III. τῇ τάξει τῶν ἐνδοξοτάτων ἡμῶν ὑπάρχων, περὶ πραγμάτων καὶ πάσης ἑτέρας αἰτίας, fol. XI.

## Περὶ τοῦ πραίτωρος Θρᾴκης. Διάταξις κϛ.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΕΚΕΙΝΟ τῶν ἀνωμολογημένων ἐστίν, ὅτι περ εἴ τις τὴν Θρᾳκῶν ὀνομάσειε χώραν, εὐθὺς συνεισέρχεται τῷ λόγῳ καὶ τις ἀνδρεία, καὶ στρατιωτικοῦ πλήθους καὶ πολέμων καὶ μάχης ἔννοια. ταῦτα γὰρ ἐγχώριά τε καὶ πάτρια τῇ χώρᾳ καθέστηκεν ἐκείνῃ. ὥστε ἡμῖν πρότερον γέγονεν ἔννοια καὶ τὰ περὶ ἐκείνων καταστήσασθαι τῶν τόπων, καὶ νῦν ἐπὶ τοῖς βεβουλευμένοις ἤδη τὸν παρόντα τίθεμεν νόμον. ἐπὶ γὰρ τοῦ Μακροῦ τείχους δύο τινὰς καθῆσθαι καὶ βικαρίους ὀνομάζεσθαι συνίσμεν ἅπαντες, τὸν μὲν στρατιωτικῶν ἡγούμενον τάξεων (πολλαὶ δὲ αἱ κατὰ τὸν τόπον ἐκεῖνον δυνάμεις) τὸν δὲ τοῖς πολιτικοῖς πράγμασιν ἐφεστῶτα. ἄμφω δὲ οὗτοι πληροῦσιν, ὁ μὲν τὴν τῶν ἐνδοξοτάτων ὑπάρχων ἐκεῖσε τάξιν, ὁ δὲ τὴν τῶν ἀνδρειοτάτων στρατηγῶν. ὁμονοοῦσι δὲ οὐδέποτε πρὸς ἀλλήλους, ἀλλὰ τὸ μὲν δημόσιον ἑκάστῳ καὶ σιτήσεις χορηγεῖ, καὶ τὴν ἄλλην δίδωσι παραψυχήν· οἱ δὲ μίαν ἔχουσι διηνεκῆ τε καὶ ἀτελεύτητον πρᾶξιν, τὸ φιλονεικεῖν πρὸς ἀλλήλους ἀθάνατα. Ἔδοξε τοίνυν ἡμῖν ἔχειν ὀρθῶς τοῦτο, ὅπερ καὶ ἐν ἑτέροις πεποιήκαμεν ἔθνεσι (καίτοιγε οὐχ οὕτω μαχίμοις, οὐδὲ στρατιωτικῆς φρουρᾶς δεομένοις) τοῦτο κἀνταῦθα πρᾶξαι καὶ τούτων δὴ τῶν ἀρχῶν ἑκατέραν εἰς ταυτὸ συνελκῦσαι, ὥστε μὴ τὸν μὲν ἐπὶ τῶν πολιτικῶν εἶναι πραγμάτων, τὸν δὲ στρατιωτῶν καὶ μόνων ἐξάρχειν· ἀλλὰ μίαν ἀρχὴν ἐγκαταστῆσαι τοῦ τύπου σεμνήν τινα καὶ αἰδοῦς ἀξίαν· ἥπερ ὁμοίως τῶν πολιτικῶν ἐκεῖσε πραγμάτων ἐπιμελήσεται, τῆς τε τῶν στρατιωτῶν εὐκοσμίας φροντιεῖ. ὁ μὲν γὰρ τῆς ἐπαρχίας ἡγούμενος ἐν ἑτέροις τισὶν ἐστὶ τόποις, μόλις ἐκείνοις ἀρκῶν· ἡ δὲ τῶν τειχῶν τούτων φυλακή, καὶ ἡ περὶ τοὺς τόπους ἐκείνους διοίκησις καὶ εὐταξία τε καὶ στρατηγία δεῖται τινὸς ἀνδρὸς ἀγαθοῦ, καὶ πρὸς ἑκάτερον ἔχοντος ἐπιτηδείως, στρατιώτας τε κοσμεῖν, καὶ νόμων ἐξάρχειν. τί ποτε οὖν σὺν ὄνομα τούτῳ πρόσφορον ἐκ τῆς ἀρχαιότητος θείημεν; ἢ ποίαν λαβόντες προσηγορίαν τῷ τὴν ἀρχὴν ἔχοντι ταύτην ἁρμοσαίμεθα; ἢ οὐκ αὐτόθεν ἐστὶ φανερὸν ὡς καὶ τοῦτο πραίτωρ ὄνομα θήσεται, τῆς ἡμετέρας εὐσεβείας προσλαμβάνων ἐπωνυμίαν, καθάπερ ὁ Πισιδίας τε ἡγούμενος, καὶ ὁ Λυκαονίας ἐξάρχων ὠνόμασταί τε καὶ γέγονε παρ᾽ ἡμῶν. εἰ γὰρ ὁ πραίτωρ ὁ Ῥωμαίων, στρατηγός τε ὢν καὶ νομοθέτης, ταύτην ἐπὶ τῆς οἰκείας ἀρχῆς εἶχε τὴν τάξιν, τῶν ἀνωμολογημένων ἐστὶν ὅτι πρεπωδέστατον ἂν εἴη τὸ πραίτωρος ὄνομα τῇ τῆς ἀρχῆς ταύτης προσηγορίᾳ. στρατιωτῶν μὲν γὰρ ἡγήσεται πλήθους, ἰδιώτας δὲ οὐκ ὀλίγους ὑποκειμένους ἕξει, οἷς τὰ ἐκ τῶν ἡμετέρων διαιτήσει νόμων. καὶ δεῖ γε τοῖς τόποις ἀνδρὸς ἀγαθοῦ τά τε πολιτικὰ τά τε πολεμικά. καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀεί τινες ἄνδρες στρατιωτικοὶ τῶν ἐπὶ μεγίστων ἀξιωμάτων ὄντες, τῆς τε ἐκεῖσε δυνάμεως



Universidad Carlos III de Madrid. Biblioteca

ἐξηγεῖτο, τοῖς τε ἄλλοις ἅπασιν ἐβοήθουν· εἰ καὶ μὴ στρατιῶται τινές, ἰδιῶται δὲ ἐτύγχανον ὅμως. αἱ γὰρ ἐπιδρομαὶ τῶν βαρβάρων οὐ μετρίας χρῄζουσι τῆς ἀντιστάσεως. δεῖ δὲ τὰ κατ' αὐτὰς ἐπιτελεῖσθαι τῷ μετὰ τῶν νόμων αὐτῶν ἡγεῖσθαι δυναμένῳ, ὡς πολὺ τὸ διαφέρον ὂν τάξεώς τε καὶ ἀταξίας. καὶ ἅπασιν ἐστὶ φανερὸν ὡς τὸ μὲν στρατιωτικόν, εἰ μόνον εἴη καὶ καθ' αὑτό, θρασύτερον ἔσται τοῦ πρέποντος· τὸ δέ γε πολιτικὸν εἰ μὴ τῷ στρατιωτικῷ συναναμίγνυται, καταδεέστερον ἔσται τοῦ μετρίου· τὸ δὲ ἑκατέρωθεν εἰς ταυτὸ συνελθόν, τοῦτο τελεώτατόν τε καὶ αὔταρκές ἐστι, καὶ πρὸς πόλεμόν τε ὁμοῦ καὶ εἰρήνην ἐξαρκοῦν. ἐκ κοινοῦ καὶ τὰ τῆς ἀρχῆς ταύτης συνήφθω, καὶ πραίτωρ οὗτος Ἰουστινιανὸς ἐπὶ Θράκης καλείσθω. σύμβολα δὲ αὐτῷ παρὰ τῶν ἡμῶν ἔσται, κωδίκιλλοί τε φοιτῶντες ἐντεῦθεν, κατὰ τὸ τῶν λοιπῶν σπεκταβιλίων ἀρχόντων σχῆμα, καί τινες καὶ ὑποθῆκαι βασιλικαί, τὸν τρόπον ὑφηγούμεναι καθ' ὃν δὴ αὐτὸς τὴν ἀρχὴν ἄρξει· ἅπερ οἱ πρὸ ἡμῶν mandata principis ἐκάλουν. μεθ' ὧν ἐπὶ τὴν χώραν ἐξιόντες οἱ τὰς ἀρχὰς διακληρούμενοι, τὸ πρακτέον ἐκεῖθεν ἐλάμβανον, καὶ τὸ πρᾶγμα προὐχώρει καλῶς, καὶ ἦν τοῖς πραίτωρσιν εὐδοκιμεῖν ἐπὶ πολλῶν τῆς ἡμετέρας πολιτείας ἐθνῶν· καὶ μάλιστα τῶν ἑσπερίων, ἀφ' ὧν Ῥωμαῖοι προελθόντες, τήν τε ἄρκτον ὡς εἰπεῖν ὅλην, μεσημβρίας τε καὶ τῆς ἑῴας τὰ πλεῖστα κατεκτήσαντο. Ὅσα τοίνυν ἐν τῷ πρὸ ἡμῶν ἔμπροσθεν εἰρημένῳ γέγραπται νόμῳ περὶ τῶν ἀρχῶν, καὶ ὁπόσα τῷ τε Πισιδίας τῷ τε Λυκαονίας διειλέγμεθα πραίτωρι, περὶ τοῦ προῖκα μὲν αὐτοὺς ἐντεῦθεν χειροτονεῖσθαι, προῖκα δὲ δεῖν τοῖς ὑπηκόοις προσφέρεσθαι τοῖς ἡμετέροις· ἅπασιν ἤδη ἐστὶ φανερά. εἰς ὅλην γὰρ ἄρτι τὴν ὑπήκοον ἐκπεφοίτηκεν ὁ νόμος, καὶ ἅπασιν ἤδη γέγονε γνωριμώτατος· ᾧ δὴ καὶ ὅρκος ἐγγέγραπται, καθ' ὃν προσῆκόν ἐστι τοὺς ἡμετέρους ἄρχοντας παραλαμβάνοντας τὰς ἀρχάς, τὴν ἑαυτῶν ψυχὴν ἀνιεροῦν τῷ θεῷ, καὶ φυλάττειν τοὺς ἡμετέρους ὑπηκόους ἐν ἰσότητί τε καὶ δικαιοσύνῃ, πάσης ἀπηλλαγμένους αἰσχροκερδείας τε καὶ δυσμενείας καὶ χάριτος. Ταξεῶται δὲ αὐτὸν θεραπεύσουσιν οὐ πλείους τῶν ἑκατόν· καὶ ἕξει μὲν τὰ τῆς πολιτικῆς ἀρχῆς σύμβολα, ἕξει δὲ τὰ τῆς στρατιωτικῆς. καὶ παρέσται μὲν αὐτῷ καὶ ad responsum, διὰ τὰς ἐκεῖσε δυνάμεις· ἕξει δὲ ἄδειαν καὶ ἐπιτάττειν αὐταῖς, καὶ τὰ λυσιτελοῦντα τῇ πολιτείᾳ μετ' αὐτῶν ἐργάζεσθαί τε καὶ πράττειν. Ἡ δὲ τῶν περὶ τοὺς τόπους ἐκείνους τῶν δημοσίων φόρων εἴσπραξις αὐτόν τε καὶ τὴν τάξιν ὄψεται τὴν αὐτοῦ. πραιτωριανή τε ἅπασα ἡ τάξις κληθήσεται, τοῖς ἐντεῦθεν στρατευομένη συμβόλοις, ἐκ τοῦ θείου τῶν ἐπιστολῶν σκρινίου φοιτῶσιν· ἐξ οὗ καὶ ἡ βικαριανὴ πρότερον ἐκομίζετο τὰ τοιαῦτα σύμβολα τάξις. Μελήσει δὲ αὐτῷ πρῶτον μὲν δώρων καθαρὰς φυλάττειν τὰς χεῖρας, ἔπειτα πᾶσαν ἰσότητα τοῖς ἡμετέροις ὑπηκόοις ἰδίᾳ τε καὶ δημοσίᾳ τηρεῖν, δικαζομένοις τε καὶ συμβόλαια πρὸς ἀλλήλους πράττουσιν. ὥστε στάσιν τε ἅπασαν αὐτῶν ἐξελαύνεσθαι, καὶ τοὺς μὲν στρατιώτας ἀεὶ ταῖς πολεμικαῖς γυμνασίαις ἀποτελεῖν καλλίους τε καὶ προθυμοτέρους, τοὺς ἰδιώτας δὲ ῥυθμίζειν τῷ νόμῳ, δικαίους τε καὶ κακουργίας ἁπάσης ἐλευθέρους ἀποτελεῖν· ὥστε τοὺς μὲν εἰς δικαιοσύνην, τοὺς δὲ εἰς ἀνδρείαν αὔξεσθαι· καὶ εἴ τις γένοιτο πολέμου χάριν ἐκδρομή, ταύτην ῥᾷστα ποιεῖσθαι· τάξεώς τε παρούσης ἑκατέρας, καὶ τῆς μὲν ὑπηρετουμένης ὁπόσα πολιτικοῖς ταξεώταις πρέπει, τῶν δυνάμεων δὲ ἀπροφασίστως τὰς πολεμικὰς ἀνειργόντων ἐφόδους. Δεῖ δὲ αὐτὸν καὶ τῶν δικῶν, εἴτε εἰς χρήματα βλέποιεν, εἴτε εἰς ἐγκλήματα, εἴτε εἰς ὁποιονοῦν ἄλλο, κατακούειν, καὶ δικάζειν ὀρθῶς καὶ πρὸς

Universidad Carlos III de Madrid. Biblioteca

τοῖς ἡμετέροις νόμοις, καὶ πάθοις ἕνεκεν οὐδενός· ὥστε μή τινας ἐκεῖθεν ἐκτρέχοντας τὸ ἡμέτερον ἐνοχλεῖν κράτος. οὐδὲ γὰρ βουλόμεθα τοὺς ἡμετέρους ὑποτελεῖς, καταλιμπάνοντας τὴν χώραν, ἐνταυθοῖ τρέχειν, ὑπὸ τῶν κατὰ χώραν περιορωμένους ἀρχόντων. εἰ γὰρ καὶ ὕστερον μέλλοιμεν ἐκ τῶν αὐτόθεν φοιτώντων ἐνοχλεῖσθαι, πευσόμεθα πάντως τῶν ἀφικνουμένων εἰ ταῦτα προσαγγείλαντες ἔτυχον τῷ τὴν ἀρχὴν ἔχοντι. καὶ εἰ μὲν μάθοιμεν αὐτοὺς ταῦτα μὴ προσαγγεῖλαι, σὺν ἐπιτιμήσει πάσῃ στελοῦμεν αὐτοὺς κατὰ χώραν· εἰ δὲ οἱ μὲν προσήγγειλαν, ὁ δὲ τὴν ἀρχὴν ἔχων ἠῤῥαθύμησεν, ἢ κατ' ἄλλην αἰτίαν οὐκ εὐπρεπῆ τῶν νόμων ἠμέλησε, τότε ἐπ' αὐτὸν τὴν πᾶσαν τρεψόμεθα κίνησιν. ὥσπερ γὰρ αὐτῷ δεδώκαμεν χορηγίαν πλείονα, φαμὲν δὲ τῆς ἑκατέρας ἀρχῆς, καὶ ἀνθρώπων αὐτὸν προὐβαλόμεθα τοσούτων· οὕτως, εἰ μάθοιμεν αὐτὸν ἀναξίως περὶ τὴν ἀρχὴν φερόμενον, οὔτε ἐνδώσομεν, οὔτε ἐπὶ μετρίοις στήσομεν τὴν ποινήν· ἀλλ' ὅσον αὐτὸν εἰς ὕψος ἤρομεν εὐκοσμοῦντα, τοσοῦτον αὐτῷ παρὰ τοὺς ἡμετέρους τι πράττοντι νόμους ἐπιτιμήσομεν. δεῖ δὲ αὐτὸν πρὸς μηδένα παντελῶς ὑποκατακλίνεσθαι, μηδ' ἂν εἴ τις εἴη τῶν ἐπισήμων, μηδ' ἂν εἰ σφόδρα πλουτοίη. διὰ τοῦτο γὰρ δὴ καὶ σεμνοτέροις παραδίδομεν τὰς τοιαύτας ἀρχάς, ἵνα μὴ ῥᾳδίως ἐνδιδοῖεν τοῖς ἐκ τοῦ πλουτεῖν βουλομένοις ἀδικεῖν. Ἐπιμελήσεται δὲ καὶ τῶν ἔργων ἁπάντων τῶν ἐκεῖσε, καὶ οὐ συγχωρήσει διαφθαρῆναι οὔτε λιμένας, οὔτε τείχη, οὔτε γεφύρας, οὔτε ὁδούς, οὔτε τι τῶν ἄλλων· ἀλλ' αὐτὸς ὁπόσα δυνατὸν ἐκ τῶν πολιτικῶν πόρων ἐπανορθωθῆναι παρασκευαζέτω (καὶ εἴ τι τούτων μείζονος δεόμενόν ἐστι φροντίδος, τοῦτο εἰς ἡμᾶς μηνυέτω) καὶ τοὺς λογισμοὺς γίνεσθαι κατὰ τοῦτο δὴ τὸ παρ' ἡμῶν νομοθετηθέν. οὐδὲ γὰρ ἔτι βουλόμεθα τινὰς ἐκ τῆς ἀρχῆς ἧσπερ ἐφέστηκας, στέλλεσθαι κατὰ χώραν, τὰς συνήθεις ταύτας ἔχοντας ἐμπορείας, ὑδάτων τε ἀναζητήσεις καὶ κήπων καὶ τειχῶν καὶ εἰκόνων, καὶ τινῶν τοιούτων, ἅπερ καὶ πάλαι παντελῶς ἀνῃρῆσθαι συνείδομεν. ἀλλ' αὐτὸς μὲν κατεξεταζέτω τὰ γινόμενα, καὶ λόγους ὑπέχειν αὐτοὺς κατὰ τὴν θείαν ἡμῶν ποιείτω διάταξιν· εἰ δέ γε ἡμεῖς συνείδοιμεν ἕτερόν τινα πρὸς τοῦτο στεῖλαι, τοῦτο διὰ πραγματικοῦ πράξομεν τύπου, καὶ πρὸς τὴν σὴν, εἴπερ συνείδοιμεν, ἀρχὴν φερομένου. πανταχόθεν γὰρ τοὺς ἡμετέρους ὑπηκόους ἐξαρπάζοντες, καὶ ἐλευθέρους ποιοῦντες βλάβης, διὰ τοῦτο καὶ χρημάτων ὑπερειδόμεν, ὥς που καὶ αὐτὸς οἶσθα, μεγάλων, καὶ τοσαύταις σιτήσεσι τούς τε ἄρχοντας τάς τε τάξεις τούς τε ἀμφ' αὐτοὺς ἐψυχαγωγήσαμεν, ὥστε μὴ δι' ἔνδειαν τυχὸν ἤ τι τοιοῦτον, ἀπρεπῶν τινῶν ἅπτεσθαι πραγμάτων· ἀλλ' ἐπισήμους τε εἶναι καὶ ἐκ τῆς μεγάλης βουλῆς, καὶ οὕτω φοιτᾷν ἐν τῇ χώρᾳ μετὰ τῆς τοῦ θεοῦ τε καὶ ἡμῶν μνήμης. ὧν εἰ μὴ κατά τινα τρόπον ἐκλάθοιτο, καλλίων ἑαυτοῦ διὰ πάντων ἔσται.

Εἰ δὲ ὑπατικοῖς τε καὶ πραιτωριανοῖς ἀνδράσιν οἱ πάλαι Ῥωμαῖοι τὰς ἀρχὰς ἐπέτρεπον, οὐκ ἀπὸ τρόπου καὶ ἡμεῖς πράξομεν εἰ καὶ τοιούτοις αὐτάς τισι παραδώσομεν, οἵπερ καὶ τὰς ἐπηρείας ἀναστέλλουσι, καὶ τῶν ἐντεῦθεν πρακτόρων τῶν ἐν ταῖς ἐπαρχίαις γινομένων, καὶ τοὺς ἡμετέρους ὑποτελεῖς πειρωμένων ζημίαις περιβάλλειν ἀλόγοις, τῆς τοιαύτης ἀνάγκης ἐκλύσειαν. καὶ γὰρ δίδομεν αὐτῷ παῤῥησίαν καὶ ταῦτα πολυπραγμονεῖν, καὶ κωλύειν, καὶ εἰς ἡμᾶς μηνύειν· καὶ τὰ μὲν οἴκοθεν ἐπανορθοῦν, τὰ δὲ θᾶττον πρὸς τὴν ἡμετέραν ἀναφέρειν γνῶσιν· ὥστε ἐφ' οἷς καταδεέστεροι τῶν πραγμάτων εἰσὶν, ἐπὶ τούτοις αὔξεσθαί τε



Universidad Carlos III de Madrid. Biblioteca

καὶ ἀναπληρῶσαι τῇ τῆς ἡμετέρας γνώμης τε καὶ κελεύσεως προσθήκῃ. ταῦτα αὖθις καὶ ἐν τοῖς βασιλικοῖς παραγγέλμασιν ὑποθησόμεθα, καὶ μετὰ τῶν συμβόλων αὐτὰ τῶν ἀρχικῶν ἐπιδώσομεν· ὥστε μεμνημένους τῶν ὅρκων οἷς ὑφέξουσι, καὶ τῶν ὑποθηκῶν ἃς αὖθις δώσομεν, ἡμῶν τε καὶ τῆς ἡμετέρας ἐννοίας ἀξίως τὸν οἰκεῖον κατακοσμεῖν βίον, καὶ κυβερνᾶν τὴν ἀρχὴν μετὰ τῶν νόμων τῶν ἡμετέρων. Ταῦτά ἐστιν ἐφ' οἷς αὖθις παραδίδομεν τὴν ἀρχήν, δόντες αὐτῇ, ὡς εἴρηται, καὶ τοῦ δικάζειν ἅπασαν ἐξουσίαν χρηματικαῖς τε καὶ ἐγκληματικαῖς καὶ πάσαις ἁπλῶς ὑποθέσεσι, καὶ τὴν ἔκκλητον τὴν αὖθις ἐπιδιδομένην, ἐπὶ τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους καὶ τὸν ἐνδοξότατον ἄγειν κυαίστωρα, κοινῇ τῆς ὑποθέσεως ἀκροωμένους, κατὰ τὸ τῶν εἰς τὸ θεῖον τέμενος εἰσαγομένων δικῶν σχῆμα. εἰ δέ τις κατὰ τοὺς τόπους ἐκείνους ἐφέσιμος γένοιτο δίκη τῶν πεντακοσίων ἐλάττων χρυσῶν, εἰ καὶ ἐκ παραπομπῆς ἢ βασιλικῆς ἢ ἀρχικῆς εἴη, καὶ ὁ τὴν δίκην ἐπιτραπεὶς οὐκ εἴη σπεκταβίλιος δικαστής, τὴν ἀπ' ἐκείνων τῶν τόπων ἔκκλητον ἐπ' αὐτὴν χωρεῖν, καὶ ἀκούειν αὐτὸν ὡς ἐν θείῳ τεμένει. κοσμοῦμεν γὰρ αὐτοῦ καὶ τούτῳ τὴν ἀρχὴν τῷ τρόπῳ, καὶ ὁμοίαν τίθεμεν τῷ τε περιβλέπτῳ κόμητι τῆς ἕω, ταῖς τε ἀνθυπατείαις, τοῖς τε κόμησι Φρυγίας τε καὶ Γαλατίας· ὥστε καὶ αὐτὴν εἶναι σπεκταβιλίαν, καθάπερ ἐκεῖναι, καὶ ἐπὶ τούτου τοῦ σχήματος ἑστάναι. οὐδὲν τοῦδε ἡμῶν τοῦ νόμου τὴν τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος ἐλαττοῦντος ἀρχήν, ἀλλ' ἐκείνου τε ἐν τοῖς ἄλλοις τῆς ἐπαρχίας τόποις πράττοντος ἅπερ ἴδια τῶν νόμων ἐστί, τούτου τε ἐν οἷς ἵδρυται μέρεσι τὴν ἐπιτεταγμένην αὐτῷ παρ' ἡμῶν πληροῦντος φροντίδα. ὑποτέθειται δὲ παρ' ἡμῶν καὶ ἀπογραφὴ τῷδε τῷ νόμῳ, λέγουσα τί μὲν αὐτῷ προσήκει χορηγεῖν προφάσει τῶν συμβόλων τῆς ἀρχῆς, τί δὲ κομίζεσθαι αὐτόν τε καὶ τοὺς περὶ αὐτὸν ἐκ τοῦ δημοσίου, κατὰ τὴν τῶν σιτήσεων πρόφασιν. ἅπερ καὶ μόνα λαμβάνειν αὐτοῖς ἐφίεμεν, ἀλλοίου παντὸς κέρδους ἀπεχομένους. διὰ τοῦτο γὰρ καὶ σεμνοτέρους ποιοῦμεν αὐτοὺς χορηγίαις μείζοσιν, ἵνα καὶ αὐτοὶ ταύτην ἡμῖν ἐπὶ τῶν ἔργων ἀντιδιδοῖεν τὴν ἀμοιβήν, τοὺς ἡμετέρους ὑπηκόους διὰ πάντων περισώζοντες, καὶ τῶν ὅρκων οἷς ὑφέξουσι μεμνημένοι. Τὸν μὲν δὴ παρόντα νόμον ἕξει μὲν καὶ τὸ τῶν νόμων βιβλίον, καὶ ὁ σὸς δὲ θρόνος δεχόμενός τε καὶ μανθάνων, διηνεκῶς αὐτὸν ἐπ' αὐτῶν φυλαττέτω τῶν ἔργων.

DAT. XV. K. IVN. CONSTANTINOP. BILIS. V. C. CONS.

Δεῖ δὲ παρέχεσθαι τῷ πραίτωρι Θρᾴκης ὑπὲρ ἀννωνῶν καὶ καπιτατιόνων καὶ λοιπῆς παραψυχῆς, fol. CCC. τῷ αὐτοῦ παρέδρῳ, fol. XXII. τῇ αὐτοῦ τάξει, auri lib. VII. Δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως. τοῖς περιβλέπτοις χαρτουλαρείοις τρισὶ τοῦ θείου κουβουκλείου, fol. IX. τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων, καὶ τοῖς λατερκουλισίοις, fol. XXIIII. τῷ βοηθῷ αὐτοῦ, fol. IIII. τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προσταγμάτων καὶ πάσης ἑτέρας αἰτίας, fol. XI.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τοῦ κόμητος Ἰσαυρίας. Διάταξις κζ.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥΓΟΥΣΤΟΣ Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΟΠΕΡ τισὶ τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἐν εἰκόνι καὶ σχήματι κατὰ τὴν Ἰσαύρων χώραν ἦλθεν ἐπὶ νοῦν πρᾶξαι, τοῦτο ἡμεῖς αὐτοῖς τοῖς πράγμασι δι' αὐτῆς τῆς τῶν ἔργων ἰσχύος ἐπί τε Γαλατίας ἐπράξαμεν τῆς πρώτης, ἐπί τε τῆς Πακατιανῆς Φρυγίας, τὴν τῶν πρώην καλουμένων βικαρίων ἀρχὴν ἑνώσαντες ταῖς πολιτικαῖς, καὶ μίαν καταστησάμενοι τάξιν, καὶ διακοσμήσαντες αὐτὰς ὡς ἐχρῆν· καὶ ἑκάστῳ δόντες ἀντὶ τῆς πρώην προσηγορίας τὸ τῶν κομήτων ὄνομα, ὥστε τὸν μὲν, κόμητα Γαλατίας, τὸν δὲ, κόμητα Πακατιανῆς ὀνομάζεσθαι Φρυγίας, παρεπομένης ἑκατέρῳ τούτων αὐτῶν καὶ τῆς ἡμετέρας ἐπωνυμίας. τοῦτο δὴ καὶ κατὰ τὴν Ἰσαύρων πράττομεν χώραν. οὐ γὰρ ἔτι βουλόμεθα τὸν ἐπὶ ταύτης γινόμενον τῆς ἀρχῆς διπλοῖς χρῆσθαι συμβόλοις, καὶ λαμβάνειν μὲν καὶ τὴν τῆς πολιτικῆς ἀρχῆς προσηγορίαν, λαμβάνειν δὲ καὶ τὰ τῆς στρατιωτικῆς ἐξουσίας σημεῖα, καὶ ὄνομα περιφέρειν διπλοῦν, πράγματος ὄντος ἑνός· ἀλλ' αὐτόθεν μίαν εἶναι τὴν ἀρχὴν αὐτῷ τίθεμεν, αὐτὴν μὲν προνοοῦσαν τῶν ὅπλων, αὐτὴν δὲ τῶν δημοσίων ἀντιλαμβανομένην, ἅπαντα δὲ ἔχουσαν ἐφ' ἑαυτῇ, καὶ μιᾷ χρωμένην τάξει, κομητιανήν τε προσαγορευομένην, καὶ κομιζομένην τὰ σύμβολα τῆς στρατείας ἐκ τοῦ θείου τῶν λιβέλλων σκρινίου. ἔσται δὲ καὶ αὕτη παντελῶς ἄμισθος, καὶ οὐ παρέξει χρημάτων οὐδεμίαν δόσιν· ἀλλ' αὐτὴ καθαραῖς χρήσεται ταῖς χερσὶ, καθάπερ αἱ λοιπαί· καὶ καταπεμψόμενόν τε καὶ πρὸς αὐτὴν τὸν ἔναγχος παρ' ἡμῶν πεφοιτηκότα νόμον. δώσομεν δὲ αὐτῇ πρὸς τοῖς κωδικίλλοις (οἵπερ αὐτὸν τοῖς σπεκταβιλίοις ἐγγράφουσιν ἄρχουσι) καὶ τὰ θεῖα παραγγέλματα, ταῦτα δὴ τὰ mandata principis, ἤτοι τὰ βασιλικὰ ἐντάλματα, παρά τε τοῖς ἀρχαίοις ὀνομαζόμενα, παρ' ἡμῶν τε αὖθις εἰς πολιτείαν εἰσενεχθέντα. ἐξ ὧν μαθήσεται ὅτι προνοητέον αὐτῷ καθ' ἕκαστον καὶ τῶν δημοσίων ἁπάντων καὶ τῶν ἰδιωτικῶν συμβολαίων, καὶ τῆς εὐκοσμίας τῆς ἄλλης, καὶ τοῦ κατὰ μηδὲν βλαβῆναι τὸ δημόσιον· καὶ ἁπλῶς ἅπαντα ὅσα προσῆκόν ἐστιν αὐτὸν ποιεῖν, ἐκεῖθεν αὐτῷ γενήσεται φανερά. ἴστω δὲ μόνον τοσοῦτον, ὅτι καὶ αὐτὸς ἐν τοῖς περιβλέπτοις ἄρχουσι τέτακται, καὶ τῶν ἐφέσεων τῶν παρ' ἐκείνου γινομένων οἵ τε ἐνδοξότατοι ὕπαρχοι τῶν ἱερῶν ἡμῶν ἀκροάσονται πραιτωρίων, ὅ,τε ἐνδοξότατος ἡμῶν κοιαίστωρ καθάπερ αὐγουσταλίου καὶ ἀνθυπάτου, καὶ πραιτώρων τελῶν τῶν νῦν παρ' ἡμῶν εἰκαταστάντων Πισιδίᾳ τε καὶ Λυκαονίᾳ καὶ Θρᾴκῃ, καὶ τοῦ κόμητος τῆς ἑῴας, καὶ πρός γε τοῦ κόμητος τῆς Πακατιανῆς Φρυγίας, Γαλατίας τε πρώτης. Εἰ δέ τις τῶν ἐν Ἰσαυρίᾳ δικῶν ἐλάττων εἴη τῶν πεντακοσίων χρυσῶν, εἶτα ἐφέσιμος γένηται), ταύτης αὐτὸς ἀκροάσεται κατὰ τὸ τῶν θείων ἀκροατηρίων σχῆμα. καὶ γὰρ δὴ καὶ τοῦτο δίδομεν αὐτῷ, σεμνοτέραν αὐτῷ καὶ κατὰ τοῦτο τὴν ἀρχὴν ἀποφαίνοντες. Ἡ τοίνυν σὴ ὑπεροχὴ κατὰ μίμησιν τῶν εἰρημένων ἀρχῶν καὶ τὰ περὶ αὐτῶν διαταξάτω. ὑποθήσομεν γὰρ αὐτῷ καὶ ἀπογραφὴν τῷδε ἡμῶν τῷ νόμῳ, δηλοῦντες τί μὲν αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν καὶ τὸν αὐτοῦ πάρεδρον ἐκ τοῦ δημοσίου προσήκει κομίζεσθαι, τί δὲ προφάσει τῶν



Universidad Carlos III de Madrid. Biblioteca

ἀρχικῶν διδόναι συμβόλων. καὶ ἴσασιν οἱ πρὸ ἡμῶν ταύτας δὴ τὰς ἔναγχος κατακοσμηθείσας ὑφ' ἡμῶν ἀρχὰς παραλαμβάνοντες, ὡς ηὐξόμεθα χρήματά τε ὑπὲρ τῶν ἀρχῶν συνεχῶς προσφερόμενα παντελῶς ἀποσείεσθαι, αὐτοί τε οἴκοθεν καὶ τοῖς παρέδροις αὐτῶν ἀφ' ὧν οὐκ εἶχον διδόναι, καὶ ταῖς τάξεσι τὰ πρὸ ἑτέρων ἀφῃρημένα φιλοτιμήσασθαι, καὶ αὐτοῖς τοῖς ἄρχουσι μείζονα ποιήσασθαι τὴν παραμυθίαν· ἵνα πανταχόθεν τοὺς ἡμετέρους ὑπηκόους φυλάξωμεν ἀπαθεῖς. εἰ δὲ καί τινας ἄρχοντας τῶν πλησίον αὐτῶν ἐπαρχιῶν ἀμελοῦντας εὕροις περὶ τὸ δημόσιον, οὐχ ἕτερον ἐκπέμψεις, ἀλλ' αὐτοὺς τοὺς σπεκταβιλίους ἄρχοντας ἐνοχλήσεις ὥστε αὐτοὺς ἐπιτεθῆναι τοῖς ἐκ γειτόνων ἄρχουσιν, εἰ ῥαθυμοῖεν, καὶ παρασκευάζειν ταῦτα πᾶσιν εἰσκομίζειν τόποις· ὥστε εἶναι τὴν ἀρχὴν κάλλιώ τε καὶ πολλῷ τῆς προτέρας ἀμείνω. DAT. XV. K. IVN. CONSTANTINOP. BILIS. V. C. CONS.

Δεῖ παρέχεσθαι τῷ κόμητι τῆς Ἰσαυρίας ὑπὲρ δονόνων, sol. c c. τῷ αὐτοῦ παρέδρῳ, sol. x x i i. τῇ αὐτοῦ τάξει, auri lib. i i. Δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως. τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου, sol. x i. τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων καὶ τοῖς λατερκουλισίοις, sol. x x i i i i. τῷ βοηθῷ αὐτοῦ, sol. i i i. τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προσταγμάτων καὶ πάσης ἑτέρας αἰτίας, sol. x i i i.

## Περὶ τοῦ μοδεράτορος Ἑλενοπόντου. Διάταξις κη.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἐπάρχῳ πραιτωρίων.

ΤΟ καλῶς τε καὶ ἄνωθεν ἁρμοσθέν τε καὶ ἡνωμένον, καὶ εἰς τὴν οἰκείαν ἰσχὺν συντεθέν, χωρὶς εὐλόγου τινὸς αἰτίας καινίζειν ἢ διαιρεῖν οὐκ ἂν εἴη διοικήσεως ἐρρωμένης. οὐ γὰρ ἐν ὀνομάτων πλήθει θετέον τὴν ἰσχύν, ἀλλ' ἐν ἀληθεῖ πραγμάτων ἀποτελέσματι. ὁποῖόν δή τι γεγονέναι περὶ τούτους δὴ τοὺς δύο Πόντους καλουμένους μεμαθήκαμεν· φαμὲν δὴ τόν τε Ἑλενόποντον, τόν τε Πολεμωνιακὸν Πόντον. ὑφ' ἑνὶ γὰρ πρότερον ἄρχοντι τεταγμένης τῆς χώρας, γεγόνασι δύο, μήτε δημοσίας ἀνάγκης τοῦτο κατεπειγούσης, μήτε ἑτέρας τινὸς προφάσεως εὐλόγου, ἣν ἄν τις καὶ ῥᾳδίως ἐξεύροι. καὶ τοσοῦτον μαρτυρεῖται τὸ πρᾶγμα οὕτως ἔχον, ὡς εἰς τὴν παροῦσαν ἡμέραν ἑνὶ πρακτευτῇ τῶν δημοσίων φόρων τε καὶ διατυπώσεων χρῆσθαι τὰς χώρας ἀμφοτέρας. πόλεις τε εἴ τις ἀριθμήσει τὰς καθ' ἑκατέραν οὔσας, μόλις ἐπαρχίας μιᾶς αὔταρκες γένοιτο μέτρον· εἴ γε ὀκτὼ μὲν πόλεις συμπληροῦσι τὸν Ἑλενόποντον, τουτέστιν Ἀμάσεια τε καὶ Ἴβωρα, καὶ Εὐχάϊτα, καὶ πρός γε Ζῆλα καὶ Ἄντραπα, καὶ αἵ γε πρὸς τοῖς κλίμασι κεῖνται, Σινώπη τε καὶ Ἀμισσός, πόλεις ἀρχαῖαι· καὶ μίαν καὶ Λεοντόπολιν ἤδη κἀκείνην ἀριθμητέον ἐν πόλεσι. πέντε δὲ ἄλλαι τὸν Πολεμωνιακὸν συνέχουσι Πόντον, Νεοκαισάρειά τε καὶ Κώμανα καὶ Τραπεζοῦς καὶ Κερασοῦς καὶ Πολεμώνιον (Πιτυοῦντα γὰρ δὴ καὶ Σεβαστόπολιν ἐν φρουρίοις μᾶλλον ἀριθμητέον ἢ πόλεσιν) ὥστε μέχρι τούτων ἑκάτερον εἶναι τῶν Πόντων, μεθ' οὓς ἥ τε ἡμετέρα καθέστηκε Λαζική, ἐν ᾗ καὶ ἡ Πετραίων ἐστὶ πόλις,

Universidad Carlos III de Madrid. Biblioteca

(ὑφ᾽ ἡμῶν τὸ πόλις εἶναί τε καὶ ὀνομάζεσθαι προσλαβοῦσα, κεχρημένη τε τῷ τῆς ἡμετέρας εὐσεβείας ὀνόματι, καὶ Ἰουστινιανὴ καλουμένη) Ἀρχαιόπολίς τε καὶ Ῥοδόπολις, φρούριά τε μέγιστα καὶ ἀρχαῖα. ἐν οἷς δὴ καὶ τὰ παρ᾽ ἡμῶν ἐστὶν ἐκ Περσῶν ἀναληφθέντα φρούρια, Σκάνδις τε καὶ Σαραπανὶς, καὶ Μουρίσιος τε καὶ Λύσιρις, καὶ εἴ τι ἕτερον ἡμῖν ἐν Λαζοῖς ἐκπεπόνηται. εἶτα ἡ Τζάνων ἐκδέχεται χώρα, νῦν πρῶτον ἐφ᾽ ἡμῶν ὑπὸ Ῥωμαίων κατακτηθεῖσα, καὶ πόλεις τε καὶ αὐτὴ τὰς μὲν ἄρτι γινομένας δεχομένη, τὰς δὲ ὅσον οὔπω γενησομένας δεξομένη. ἄλλα τε μετ᾽ ἐκείνην ἔθνη καθεστᾶσι, Σουανοί τε καὶ Σκύμνοι καὶ Ἀψίλαι καὶ Ἀβασγοὶ, καὶ ἕτερα νῦν, θεοῦ διδόντος, φίλιά τε καὶ ἡμέτερα. Ἀλλ᾽ εἰς ταῦτα μὲν ὁ περὶ τοὺς τόπους τούτους ἡμᾶς ἤνεγκε λόγος· ἐπανίωμεν δὲ αὖθις ἐπὶ τοὺς πόντους καὶ τὴν ἕνωσιν τὴν αὐτῶν. τούτους γὰρ νῦν ἄμφω τοὺς πόντους τοὺς ταῖς τρεισκαίδεκα πόλεσι περιεχομένους εἰς μίαν ἐπαρχίαν αὖθις συνάγομεν, καὶ ἀποδίδομεν αὖθις τῆς μὲν παλαιότητος τὴν ἕνωσιν, τῆς δὲ νεότητος τὴν ἐπωνυμίαν. Ἑλενόποντος γὰρ ἅπας καλείσθω, τοῦτο δὴ τὸ τεθὲν αὐτῷ παρὰ Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως ὄνομα, προφάσει τῆς σεμνοτάτης αὐτοῦ μητρὸς Ἑλένης φαμὲν τῆς εὐσεβοῦς τὴν λῆξιν, ἥπερ ἡμῖν καὶ τὸ θεῖον τῶν Χριστιανῶν ἐξεῦρε σύμβολον. τὸ γὰρ δὴ Πολέμωνος ὄνομα, παλαιοῦ γενομένου τῶν πολλῶν ἐκείνων ἐν Πόντῳ τυράννων, πεπαύσθω. πρῶτον μὲν, ὅτι τυράννου καθειστήκει· δεύτερον δὲ, ὅτι καὶ πόλιν ἐπώνυμον ἔχει, τὸ Πολεμώνιον φαμέν· καὶ ὅτι κάλλιον ἂν εἴη τὰς χώρας ἐξ ὀνομάτων Χριστιανικῶν τε καὶ βασιλικῶν μᾶλλον ἤπερ ἐκ πολέμου καὶ ταραχῆς γνωριζομένων σημαίνεσθαι. πᾶσαι δὲ αἱ τρεισκαίδεκα πόλεις ἐπαρχίας ἔστωσαν μιᾶς, ἀφαιρουμένης μὲν οὐδετέρας αὐτῶν τῶν μητροπόλεων (Ἀμασείας τε φαμὲν καὶ Νεοκαισαρείας) τοῦ τῆς μητροπόλεως ὀνόματος· τῶν δὲ θεοφιλεστάτων αὐτῶν ἐπισκόπων τῶν μὲν μητροπολιτῶν ἐνταυθοῖ χειροτονουμένων· τῶν δὲ ὑπ᾽ αὐτοῖς τεταγμένων, ὁμοίως ὑπ᾽ αὐτῶν τῶν τὰς μητροπόλεις ἐχόντων (καθὰ καὶ μέχρι νῦν ἦν) χειροτονουμένων. οὐδὲν γὰρ τῶν περὶ τὴν ἱερωσύνην αὐτῶν καινίζομεν, ἐπεὶ καὶ ἐπὶ μιᾶς ἐπαρχίας καὶ ὁ πάλαι χρόνος καὶ οὗτος ὁ νῦν κατακοσμηθεὶς ὑφ᾽ ἡμῶν, οἶδε πολλὰς τοιαύτας καταστάσεις ἐν τοῖς θεοφιλεστάτοις ἐπισκόποις τυγχανούσας. καὶ ἐφηγείσθω γε αὐταῖς ἀνὴρ εἷς, ἄρχων μὲν χώρας ἑκατέρας, μοδεράτωρ δὲ προσαγορευόμενος· ὃν ἄν τις ἁρμοστὴν καλέσειε, τῇ συνήθει χρώμενος γλώττῃ. ἐπεὶ καὶ τὸ τοῦ μοδεράτορος ὄνομα ἀρχαῖόν τε ἐστὶ καὶ Ῥωμαϊκῇ σεμνότητι πρέπον. καὶ ὅ γε ἁρμοστὴς, ἀρχαῖός τις ἄρχων ἦν, ἐκ Λακεδαίμονος ἐπὶ τὸ ὑπήκοον στελλόμενος. Ὥστε ὁ τὴν ἀρχὴν παραλαμβάνων ταύτην, ὀνομαζέσθω μοδεράτωρ Ἰουστινιανὸς Ἑλενοπόντου· ὑπακουέτω δὲ αὐτῷ καὶ τὸ στρατιωτικὸν τὸ κατὰ τὴν ἐπαρχίαν ἱδρυμένον, ἐχέτω τε καὶ ad responsum· πᾶσά τε ἀποκεκλείσθω τύχη, λόγον παρανομίας ἂν ἐπιθεῖναι μὴ δυναμένη. ἀκροάσθω δὲ καὶ δικῶν χρηματικῶν τε καὶ ἐγκληματικῶν, καὶ τῶν ἄλλων, τῶν μὲν ἐλαχίστων, ἀγράφως τε καὶ προῖκα· τῶν δὲ μειζόνων, ἐγγράφως μὲν, μετὰ δὲ τῆς τεταγμένης κατὰ τὴν θείαν ἡμῶν διάταξιν δαπάνης. καὶ ὅ γε τὴν ἀρχὴν ταύτην παραλαμβάνων, τὰς ἑκατέρας ἀρχῆς κομιζέσθω σιτήσεις, συνιούσας εἰς ἑπτακοσίους εἴκοσι πέντε χρυσοῦς· καὶ τάξει χρήσθω μιᾷ. καὶ ὁ τῶν δημοσίων δρόμος τε καὶ κίνδυνος εἷς καὶ κοινὸς ἔστω κατά τε τοῦ τὴν ἀρχὴν ἔχοντος, κατά τε τῆς τάξεως, εἴπερ εἰς ἓν συνελεύσεται σχῆμα, καὶ ἁρμοσθήσεται πρὸς ἑαυτὴν, καθάπερ ἂν ὑπὸ τοῦ



Universidad Carlos III de Madrid. Biblioteca

προεστῶτος ταχθείη. καὶ ὁ πάρεδρός γε τῆς ἀρχῆς δύο καὶ ἑβδομήκοντα χρυσοῦς ἐκ τοῦ δημοσίου λήψεται, καὶ ἡ τάξις ἡ ἐξ ἀμφοῖν μία γινομένη τετρακοσίους τεσσαράκοντα ἑπτὰ τεῖχον κομιεῖται χρυσοῦς. Ὁ δὲ τὴν ἀρχὴν ἔχων τοποτηρητὰς μὲν κατὰ τὰς πόλεις οὐκ ἐκπέμψει (τοῦτο γὰρ φυλάξεται, καθὰ καὶ τοῖς θείοις ἡμῶν περιέχεται παραγγέλμασιν) αὐτὸς δὲ περινοστήσει τὰς πόλεις, ὑπ' οὐδενὸς νόμου τυχὸν ἢ θείου πραγματικοῦ κωλυόμενος τύπου· κἂν εἴ τι τοιοῦτο ὁ πρότερος ἐπέταττε χρόνος. καὶ ἔσται καὶ ἐπὶ τῶν μειζόνων πόλεων καὶ ἐπὶ τῶν ἄλλων ἔνθα ἂν τοῦτο σπουδάζοι (εἴπερ ὅλως ἡ πόλις αὐτάρκης ἐστὶ πρὸς τὴν ὑποδοχὴν τὴν αὐτοῦ) αὐτὸς μὲν τοῖς κέρδεσιν ἀπεχόμενος, καὶ ζημίας ἁπάσης χωρίς. οὐκ αὐτὸς γὰρ, οὐ ταξεώτης, οὐ στρατιώτης ἑπόμενος αὐτῷ, λήψεταί τι παρὰ τῶν συντελῶν, ἢ δαπανήσει προῖκα· καὶ ἢ τοῖς συντελέσι τοῖς ἡμετέροις ἐπιτρέψει, ἢ τοῖς ἑπομένοις αὐτῷ στρατιώταις αὐτὸ τοῦτο πράττειν ἐφήσει. καὶ γὰρ δὴ καὶ τοῦτο τὸ μέρος τῶν θείων ἡμῶν παραγγελμάτων ἐστίν. αὐτὸς μὲν τόν τε ὅρκον ἐννοῶν ὃν ὤμοσε, καὶ ὅτι προῖκα παραλαμβάνων τὴν ἀρχὴν, καὶ αὔξησιν τοσαύτην ἔχων σιτήσεων, οὐκ ἄν ποτε τολμήσειέ τι λαβεῖν, εἰ μὴ μετὰ μεγάλης ἀποδοῦναι τοῦτο τῆς ποινῆς ἐθελήσειεν· οὐδὲ τῇ τάξει τοιοῦτό τι πράττειν ἢ λαβεῖν τι κατὰ τοιαύτην πρόφασιν ἐφιείς. τοὺς δὲ στρατιώτας, εἰ μὴ ταῖς οἰκείαις σιτήσεσιν ἀρκουμένους ἐπὶ πάντων παρασκευάσει, οὐδὲ αὐτὸς ἔξω δικαίας ἀγανακτήσεως γενήσεται· ἀναγκασθήσεταί τε ἐκ τῶν σιτήσεων αὐτῶν εἰσπράξας τὴν παρ' αὐτῶν γινομένην ζημίαν, καὶ ταύτην τοῖς συντελέσιν ἀποδοῦναι. Διὰ τοῦτο γε μὴν βουλόμεθα ταύτας δὴ τὰς ἀρχὰς μείζους τε καὶ σεμνοτέρας εἶναι, πλήθει τε τῶν ὑπηρετούντων (centum γὰρ αὐτῷ βουλόμεθα ταξεώτας εἶναι) σεμνότητί τε τῆς ἀξίας (ἐπὶ τὴν σπεκταβιλίαν αὐτὴν ποιούμενοι τὴν ἀρχήν) ἵνα ἐν ταῖς ἀνάγκαις ἄρχουσι χρώμεθα σεμνοτέροις, καὶ ταῖς ἡμετέραις κελεύσεσιν ὑπουργεῖν δυνατοῖς. τί γὰρ ἂν καὶ πράξαιεν ἄνδρες οἱ κατὰ τὸ πρὸ ἡμῶν σχῆμα ταῖς ἐπαρχίαις ἐφεστῶτες, ὀλίγοι μὲν ὄντες, ἐλαχίστων δὲ ἐξάρχοντες· κομιζόμενοί τε παρὰ τοῦ δημοσίου σφόδρα μέτρια, διδόντες δὲ πολλὰ, κλέπτειν δὲ ἀναγκαζόμενοι· καὶ μίαν ἔχοντες ταύτην σπουδὴν, τὸ τοῖς ἑπομένοις αὐτοῖς δανεισταῖς, προφάσει τῶν περὶ τὴν ἀρχὴν δεδομένων, κατὰ μικρὸν ἀποδιδόναι τὸν ἔρανον; ἐξ ὧν τοὺς ἡμετέρους συντελεῖς εἰώθασι πωλεῖν, ἀσεβεῖς τε ἅμα καὶ κεκινδυνευμένους ἑαυτοῖς εὑρίσκοντες πόρους. ταῦτα ἡμᾶς ἐδυσώπησεν οὐ μόνον τοῖς ἐντεῦθεν κέρδεσιν ἀπειπεῖν, ἀλλὰ καὶ οἴκοθεν προσδαπανῆσαι μεγάλα· καὶ εἴπου τισὶν ὤνιον παρὰ τῶν πρὸ ἡμῶν τὸ τῆς ἀρχῆς ἐδίδοτο σχῆμα, τοῦτο ἐξωνήσασθαι, καὶ ἐλευθέρους τοὺς ἡμετέρους ἀφεῖναι συντελεῖς τοῦ τοιούτου δασμοῦ, καὶ οἴκοθεν ἀντεισαγαγεῖν τὴν παραψυχὴν τοῖς λαμβάνουσιν, ἵνα καὶ τούτοις μεταδῶμεν ἐλευθερίας. ἀπέκειτο γὰρ ἡμῖν, ὡς ἔοικε, τοῦ θεοῦ τοιαῦτα φιλοτιμουμένου, μὴ μόνον Ἄφροις, μηδὲ τοῖς ἔθνεσι τοῖς ἐκεῖσε χαρίσασθαι τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοῖς κατὰ μέσην ἡμῶν τὴν πολιτείαν ἔτους ἑκάστου πιπρασκομένοις, καὶ οὐδὲ ὑπὸ τῷ αὐτῷ μένειν συγχωρουμένοις πρατῆρι, ἀλλὰ κατὰ βραχὺ τῆς ἑτέρων καὶ ἑτέρων ἐξουσίας ἀεὶ γινομένοις, ἐλευθερῶσαι τῆς τοιαύτης ζημίας τε καὶ αἰσχύνης. ταύτην ᾠήθημεν ἡμεῖς τὴν χάριν προσήκειν καὶ ἀναθεῖναι θεῷ, τῷ τὸν ἐπὶ τῇ βασιλείᾳ στέφανον ἡμῖν ἐπιθέντι, τῷ τὴν ἁλουργίδα ψήφῳ κοινῇ παρὰ τοῦ πατρὸς ἡμῶν δωρησαμένῳ, τῷ φιλοτιμησαμένῳ τοιαῦτά τε ὁμοῦ καὶ τοσαῦτα ὁποῖα τῶν ἔμπροσθεν δέδωκεν οὐδενί. Δεῖ τοίνυν τὸν ἐπὶ τὴν ἀρχὴν παριόν-

Universidad Carlos III de Madrid. Biblioteca

ταύτην, εἰδότα πόσων μὲν ἀνδρῶν, πόσων δὲ ἡγήσεται πόλεων, ὅπως δὲ ἔσται σεμνὸς, μεταβαλὼν ἐκ κονσουλαρείας τε καὶ ἡγεμονίας εἰς ἀρχὴν μείζονά τε καὶ σπεκταβιλίαν, φείδεσθαι πανταχοῦ τῶν ὑπηκόων, καὶ φυλάττειν αὐτοὺς ἀζημίους, καὶ καθαραῖς χρῆσθαι πανταχοῦ ταῖς χερσί· καὶ τὸ δημόσιον αὔξειν, τὸ συμφέροντος αὐτῷ πᾶσαν τίθεσθαι πρόνοιαν· καὶ τῶν ἰδίᾳ λημμάτων ἀπέχεσθαι, καὶ ταῖς πόλεσι κοινῇ τε καὶ ἰδίᾳ βραβεύειν τὰ δίκαια. προνοεῖν τε αὐτὰς καὶ ἰᾶσθαι, καὶ κέρδους ἕνεκα μηδ' ὁτιοῦν πράττειν μήτε ἔλαττον μήτε μεῖζον· ἀλλὰ δόξης τε ἀγαθῆς ἐφίεσθαι, καὶ τοῦ διὰ πάντων εὐορκεῖν, καὶ ἡμῖν ἐν ἅπασι κεχαρισμένον καθεστάναι. Τόδε μάλιστα ἐπὶ τοῦ Πόντου πλημμελούμενον φυλάξει, τὸ μηδενὶ διδοῦναι παρρησίαν ἢ τίτλους ἐπιτιθέναι χωρίοις, ἢ οἰκήμασιν ἀλλοτρίοις. μόνου γὰρ ἴδιον τοῦτο τοῦ τε δημοσίου τῶν τε βασιλικῶν οἴκων ἐστὶ, τῶν τε ἡμετέρων τῶν τε τῆς εὐσεβεστάτης αὐγούστης. εἰ δὲ εἰς ἑτέρου τινὸς εὕροι προσηγορίας σανίδας ἀνατεθείσας, αὐτὰς μὲν εὐθὺς καθαιρήσει, ἀνιχνεύσει δὲ τὸν ταύτας καταπήξαντα· καὶ εἰ μὲν αὐτὸς ὁ λέγων ἑαυτὸν εἶναι δεσπότην τοῦ πράγματος, τοῦτο πράττοι, παραχρῆμα τοῖς ἐκείνου πράγμασι τίτλους ἐπιθήσει δημοσίους, εἰς κεφαλὴν αὐτῷ περιρρήξας τοὺς ὑπ' αὐτοῦ τεθέντας τίτλους· εἰ δὲ φροντιστὴς εἴη πραγμάτων ἀλλοτρίων, τούς τε τίτλους, καθάπερ εἰπόντες ἔφθημεν, κατεάξει κατὰ τῆς αὐτοῦ κεφαλῆς, βασάνοις τε αὐτὸν ὑποθήσει πικραῖς· ὥστε ταῦτα μανθάνοντα τὸν ᾧ προσήκει προσώπῳ, γινώσκειν ὡς οὐκ ἔξεστιν οὔτε δι' ἑαυτοῦ, οὔτε διά τινων δορυφόρων, ἢ πρὸς πλεονεξίαν παραλαμβανομένων, τοὺς ὑπηκόους ἀδικεῖν. Δεῖ δὲ αὐτὴν ὁμοίως τὸν περίβλεπτον μοδεράτωρα ἀναστέλλειν καὶ τοὺς λῃστεύοντας καὶ τοὺς πλεονεκτοῦντας, καὶ τοὺς γυναῖκάς τε καὶ περιουσίας καὶ ὑποζύγια καὶ τὰ τοιαῦτα ἁρπάζοντας· ὅπως ἂν καθαρὸν φυλάττοι τὸ δίκαιον, καὶ φανείημεν ὀρθῶς ἐπ' αὐτῷ βεβουλευμένοι· καὶ μή τις ἡμᾶς εἰσέλθοι μεταμέλος ὅτι λῃστοδιώκτας τε καὶ βιοκωλύτας ἐπαύσαμεν, τινῶν μὲν κατατρεχόντων τὴν χώραν, αὐτοῦ δὲ οὐκ ἀμύνοντος. διὰ τοῦτο γὰρ αὐτῷ καὶ τοὺς στρατιώτας ὑπεθήκαμεν, ἵνα καὶ τὴν ἐκείνων ἔχων χεῖρα, δυσκαταμάχητος τοῖς ἐπηρεάζουσιν εἴη. Ταῦτα αὐτῷ συλλήβδην παραινοῦμεν. τὰ γὰρ δὴ κατὰ μέρος εἴσεται σαφῶς, ἔκ τε τοῦ πᾶσιν ἐν κοινῷ γεγραμμένου νόμου, καθάπερ ἐτάξαμεν τὰς ἀρχὰς, ἔκ τε τῶν βασιλικῶν παραγγελμάτων, ἅπερ αὐτῷ διδόντες, ὑφηγησόμεθα κατά τινα τρόπον διαθήσει τὴν ἀρχήν· καὶ ταῦτα πράττων, ἡμῖν τε οὐκ ἀποθύμιος ἔσται, θεῷ τε καὶ τῷ νόμῳ τὴν ἑαυτοῦ ψυχὴν ἀναθήσει, καὶ ἀγαθὰς ὑπὲρ ὅλης τῆς διοικήσεως ἕξει τὰς ἐλπίδας. Ὑποτεθήσεται δὲ καὶ κατάλογος τῷδε ἡμῶν τῷ θείῳ νόμῳ, δι' οὗ γνώσεται φανερῶς τί μὲν αὐτόν τε καὶ τὸν πάρεδρον καὶ τὴν τάξιν τὴν αὐτοῦ παρὰ τοῦ δημοσίου προσήκει λαμβάνειν, τί δὲ αὐτὸν ὑπὲρ τῶν ἀρχικῶν παρέχειν συμβόλων· ὅπως ἂν ἐπιστάμενος τό, τε ἐλευθέριον τῆς ἐπιδόσεως τῆς εἰς αὐτὸν γινομένης, τό, τε συνεσταλμένον τῆς περὶ αὐτοῦ περὶ τὰ σύμβολα προϊούσης δαπάνης, χρῷτο κατὰ τὸ προσῆκον τοῖς πράγμασι· μειζόνων τε ἐθνῶν καὶ πλειόνων ἀνθρώπων ἐλπίζων ἄρχειν, εἰ τοῖς ἐν χερσὶ χρήσαιτο προσηκόντως. Δίδομεν δὲ καὶ τοῦτο, τὸ τὰς ἐφέσεις τὰς παρ' αὐτοῦ κατὰ τὸ τῶν περιβλέπτων ἀρχόντων σχῆμα, παρά τε τοῖς ἐνδοξοτάτοις ἐπάρχοις, παρά τε τῷ ἐνδοξοτάτῳ ἡμῶν κατὰ κονσουλτατίωνα κρίνεσθαι κοιαίστωρι· τάς τε δίκας ἐλάττους τῶν πεντακοσίων χρυσῶν ἐν τῇ κατ' αὐτὸν ἐπαρχίᾳ παρά τισι κινουμένας (κἂν εἰ τυχὸν ἐκ παραπομπῆς, μὴ μέντοι παρὰ σπεκταβιλίοις ῥηθείη) ὅταν ἐφέσιμοι γίνοιντο, αὐτὸν ἐν τάξει θείου κατεξετάζειν

Universidad Carlos III de Madrid. Biblioteca

ἀκερατηρείου. ὥστε αὐτὸν καὶ κατὰ τοῦτο σεμνότερον ὄντα, μεμνῆσθαι τῆς παρ' ἡμῶν δεδομένης αὐξήσεως αὐτῷ, καὶ οὕτω χρῆσθαι τοῖς πράγμασιν ὡς ἄμεμπτον ἑαυτὸν πᾶσι τοῖς ὑπηκόοις, καὶ ἡμῖν αὐτοῖς, καὶ πρό γε ἡμῶν θεῷ τε καὶ τῷ νόμῳ παρέχειν. Ταῦτα τοίνυν ἅπαντα ἡ σὴ ὑπεροχὴ γινώσκουσα, τοσαύτας τε αὐτῇ τὰς σιτήσεις ἐπιδιδότω, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην ὡς πολλοῖς εἰκότως ἔσεσθαι περισπούδαστον, τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν ἄνθους τε καὶ ἀξιώματος ἐπιθυμίᾳ.

DAT. XV. K. AVG. CONSTANTINOP. BILIS. V. C. CONS.

## Περὶ τοῦ πραίτωρος Παφλαγονίας. Διάταξις κθ.

### Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων.

Τὸ Παφλαγόνων ἔθνος ἀρχαῖόν τε καὶ οὐκ ἀνώνυμον καθεστώς, ἀλλὰ τοσοῦτον ὡς καὶ ἀποικίας μεγάλας ἐκπέμψαι, καὶ τὰς ἐν Ἰταλοῖς συνοικίσαι Βενετίας, ἐν αἷς δὴ καὶ Ἀκυληΐα πόλις τῶν ἐπὶ τῆς ἑσπέρας μεγίστη κατῴκισται, καὶ βασιλικὴν πολλάκις δίαιταν δεξαμένη· ὃ τοίνυν Παφλαγόνων ἔθνος ἐπὶ τῶν Ὀνωρίου τοῦ τῆς εὐσεβοῦς λήξεως χρόνων ἐλαττωθέν, καὶ πόλεις ἀποβαλόν τινας, καὶ κατ' οὐδεμίαν χρειώδη πρόφασιν, ὕφεσίν τινα δεξάμενον, αὖθις ᾠήθημεν χρῆναι πρὸς τὸ πρότερον ἐπαναγαγεῖν σχῆμα, καὶ μίαν πόλιν τὴν Παφλαγονίαν ἀποτελέσαι· καὶ ἅπερ ἐπὶ τῶν δύο πεπράγαμεν Πόντων, ταῦτα καὶ ἐπ' αὐτῇ διατάξασθαι. ὥστε καὶ τὸν τῶν ἐθνῶν τούτων ἔχοντα τὴν ἀρχὴν ἡνωμένην τε δὴ καὶ μίαν ἀντὶ δυεῖν τῶν ἔμπροσθεν (φαμὲν δὲ Παφλαγονίας τε καὶ Ὀνωριάδος) καλεῖσθαι μὲν πραίτωρα (Ῥωμαϊκὸν δὲ καὶ τοῦτο ὄνομα, καὶ τοῖς τὰς ἐπαρχίας ἰθύνουσι πρέπον) τάξει δὲ χρῆσθαι μιᾷ, συναρμοσθείσῃ παρὰ τῶν ἔμπροσθεν δύο τάξεων, ἣν καὶ ἀνδρῶν ἑκατὸν ἀριθμὸς συμπληρώσει. ἐπιστήσεται δὲ καὶ τούτοις τοῖς τε δημοσίοις ἅπασιν, ὅσα τε Παφλαγόνες, ὅσα τε οἱ πρώην τῆς Ὀνωριάδος οἰκήτορες ἐτέλουν. καὶ θήσεται πρόνοιαν τῶν πόλεων ἁπασῶν ὧν ἑκατέρα πρότερον εἶχεν ἐπαρχία, τουτέστιν ἐν Ὀνωριάδι, Προυσιάδος τε καὶ Κρατείας καὶ Ἀδριανουπόλεως, καὶ Τίου καὶ Κλαυδιουπόλεως καὶ Ἡρακλείας. εἰ γὰρ καί τινες αὐτῶν ἐκ Βιθυνίας ἐλήφθησαν πρότερον (ὁποῖον δὴ Προυσιάς τε καὶ Ἡράκλεια καὶ αὐτή γε ἡ μητρόπολις τῆς ἐπαρχίας· φαμὲν δὲ τὴν Κλαυδιούπολιν) ἀλλ' ὅμως ἐπειδήπερ ἅπαξ μετέστησαν, αὖθις ἐπαναγαγεῖν αὐτὰς εἰς Βιθυνούς, καὶ συνταράττειν τὸ σχῆμα, πολλῆς ᾠήθημεν εἶναι τῆς πολυπραγμοσύνης. ὥστε αὐταί τε αἱ ῥηθεῖσαι πόλεις ἕξ, πρότερον Ὀνωριάδος οὖσαι, νῦν μέρος καὶ αὐταὶ Παφλαγονίας ἔσονται. ἐν δὲ Παφλαγόσιν αὖθις ἕξει δικαιοδοσίαν πόλεων ἑτέρων ἕξ, τῶν ἄνωθεν ἐκείνῃ προσηκουσῶν τῇ χώρᾳ· φαμὲν δὲ Γερμανικοπόλεώς τε τῆς πρὸς Γάγγραν, καὶ Πομπηϊουπόλεως, καὶ Δαδύβρων, καὶ Σωρῶν, καὶ Ἀμάστριδος, καὶ πρός γε τῆς Ἰωνοπολιτῶν. δώδεκά τε ἔσονται αἱ πόλεις ἅπασαι τῆς ἐπαρχίας ἁπάσης. κἀνταῦθα δὲ περὶ μὲν τὰς ἱερωσύνας οὐδὲν καινίζομεν, ἀλλ' οἵ τε μητροπολῖται πρώην οἱ τὰς ἱερωσύνας ἐνταῦθα δεχόμενοι, μένουσιν ἐπὶ τῆς αὐτῆς τάξεως, τῆς ἐπ' αὐτοῖς τό γε ἐπὶ τῷ τόπῳ χειροτονίας οὐκ ἀμειβομένης· ἀλλ' ὑπὸ τοῦ μακαριωτάτου πατριάρχου τῆς εὐδαίμονος ταύτης χειροτονούμενοι πόλεως· αὐτοί τε τοὺς ὑφ' ἑαυτοὺς χειροτονοῦντες, οὓς μέχρι νῦν ἐχει-

Universidad Carlos III de Madrid. Biblioteca

[illegible], οὐδὲν ἀλλήλοις περὶ τούτων οὐ διαστασιάζοντες, οὐ διαφερόμενοι. καὶ μία τὸ λοιπὸν ἐπαρχία γενήσεται, πλείους ἔχουσα μὲν πόλεις· τοῦτο ὅπερ καὶ ἐν ἑτέραις ἡμῖν ἐπαρχίαις ἐστίν. ὁ δὲ τὴν ἀρχὴν ἔχων τῆς ἐπαρχίας πάσης (Παφλαγονία δὲ ἅπασα καλείσθω, καθὰ καὶ πρότερον ἦν) τάς τε πόλεις περινοστήσει, κωλύοντος οὐδενὸς τοῦ ἔμπροσθεν ὅπως ἐπικωλύσει τοῦ κειμένου γεγονότος τύπου· τοποτηρητὰς μέντοι ταῖς πόλεσιν οὐκ ἐκπέμπων (τοῦτο γὰρ αὐτῷ παντελῶς ἀπαγορεύομεν. ἐπεὶ τῶν ἀτόπων ἐστὶν ἅμα μὲν αὐτὸν ἐπὶ τῆς ἐπαρχίας χρηματίζειν, ἅμα δὲ ἑτέρῳ τὴν αὐτοῦ τάξιν παρὰ τὸν νόμον διδόναι) ἀλλ' αὐτὸς ἅπαντα διοικήσει, τά τε δημόσια εἰσπράξει σὺν πάσῃ προθυμίᾳ, μήτε ὑπερπράττων, μήτε ἐλαττῶν, ἀλλὰ τῆς κατὰ δικαιοσύνην ἰσότητος ἀντεχόμενος· τιθέμενός τε πρόνοιαν τοῦ καὶ εἴ τι βέβλαπται τὸ δημόσιον, τοῦτο ἐπανορθοῦν· τάς πόλεις τε φυλάττων ἀζημίους κοινῇ τε καὶ ἰδίᾳ· καὶ σίτησιν μὲν λαμβάνων ἣν ἑκατέρα πρότερον εἶχεν ἀρχή, συνιοῦσαν εἰς χρυσοῦς ἑπτακοσίους εἰκοσιπέντε, ἔχων δὲ καὶ τὸν παρεδρεύοντα ἑβδομηκονταδύο κομιζόμενον χρυσοῦς· καὶ τὴν τάξιν τὴν μίαν ἐξ ἀμφοῖν συντιθεμένην, καὶ εἰς ἀνδρῶν ἑκατὸν συνιοῦσαν ἀριθμόν, καὶ τετρακοσίους τεσσαράκοντα ἑπτὰ τρίτον χρυσοῦς ὑπὲρ παραψυχῆς λαμβάνουσαν παρὰ τοῦ δημοσίου. προῖκά τε δεχόμενος τὴν ἀρχήν, καὶ προῖκα ταύτην καὶ τὰ κατ' αὐτὴν διανύων. ἡμεῖς γὰρ κἀνταῦθα τοὺς ἡμετέρους ὑποτελεῖς ἐξωνησόμεθα, καὶ τοῖς κομιζομένοις ἐξ ἔθους, προφάσει τοῦ καλουμένου σουφφραγίου, δώσομεν αὐτοί, τοῦτο ἐκ τῶν φόρων αὐτοῖς τῶν τῆς ἐπαρχίας ἐπιδιδόντες διὰ τοῦ θρόνου τοῦ σοῦ. καὶ οὐ συγχωρήσομεν ὑπὸ σχήματι καὶ προκαλύμματι προφάσεως τοὺς ἡμετέρους ὑπηκόους καταδουλοῦσθαι. οὐ γὰρ ἂν οἱ βαρβάρων τοὺς πρόσθεν ὑποτελεῖς ἀπαλλάξαντες, καὶ τὴν ἀρχαίαν εἰς αὐτοὺς ἐπαναγαγόντες ἐλευθερίαν, τοὺς ἐν ἡμῖν αὖθις δουλεύειν ἄλλοις συγχωρήσομεν· ἀλλὰ τῷ δι' ἡμῶν πολλοῖς ἔθνεσιν ἐλευθερίαν φιλοτιμησαμένῳ θεῷ, τούτῳ καὶ ἡμεῖς καθ' ὅσον ἐστὶ δυνατόν, τὴν τῶν ἀεὶ πιπρασκομένων ὑπηκόων ἡμῶν προσοίσομεν ἐλευθερίαν· οὔτε τοὺς λαμβάνοντας καταβλάπτοντες (ἀντεισάξομεν γὰρ αὐτοῖς τὴν νενομισμένην ἀσφάλειαν) οὔτ' ἐφιέντες ταῖς ἀρχαῖς, ὀνόματι τῆς δόσεως, τοὺς ὑπηκόους τοὺς ἡμετέρους, ὥσπερ τι τῶν ἀνδραπόδων, ὠνεῖσθαι μὲν παρὰ τῶν πιπρασκόντων, πιπράσκειν δὲ τοῖς ἀδικοῦσιν. Ἔστω σοὶ τοίνυν καὶ αὕτη τῶν τῆς Ποντικῆς διοικήσεως ἐπαρχιῶν μία, διπλῆ πρότερον (οὐκ ἴσμεν ἀνθ' ὅτου) γενομένη. καὶ καλέσεις μέν, καθάπερ εἰπόντες ἔφθημεν, τὸν ἐπὶ ταύτης ἡγούμενον, πραίτωρα Παφλαγονίας Ἰουστινιανὸν (ἐξέσται δὲ αὐτὸν ἑλλάδι γλώττῃ καὶ στρατηγὸν καλεῖν) τῶν ὅρκων δὲ αὐτὸν ἀναμνήσεις ἀεὶ καθ' οὓς παραλήψεται τὴν ἀρχήν, ὥστε καθαρὰς ἔχειν τὰς χεῖρας, καὶ μηδὲ κέρδεσιν ἀτόποις ῥυπώσας, ἐφ' ᾧ τὸ δημόσιον ὠφελεῖν τε καὶ αὔξειν δικαίαις τε πανταχόθεν καὶ ἀμέμπτοις προσθήκαις. ὥστε νέμειν τοῖς ἡμετέροις ὑπηκόοις ἰσότητά τε καὶ δικαιοσύνην ἔν τε τοῖς δημοσίοις, ἔν τε τοῖς συμβάλλουσιν, ἔν τε τοῖς δικαζομένοις πρὸς ἀλλήλους. περινοστήσει δὲ ἀζημίως τὰς πόλεις, ὥστε μήτε αὐτόν, μήτε τὸν πάρεδρον, μήτε τὴν ἑπομένην αὐτῷ θεραπείαν (εἴτε στρατιωτῶν, εἴτε ταξεωτῶν, εἴτε οἰκετῶν) τι κερδαίνειν, ἢ προῖκα δαπανᾶν. δεῖ γὰρ αὐτοὺς μὲν ἐξ ὧν αὐτοῖς δίδομεν ἐκ τοῦ δημοσίου σιτήσεων, τὰς δαπάνας ποιεῖσθαι, σὺν μετριότητι προσηκούσῃ ζῶντας· τοὺς δὲ ἑπομένους αὐτοῖς στρατιώτας γινώσκειν ὡς εἰ μὴ ταῖς οἰκείαις ἀρκούμενοι σιτήσεσιν ὁδοιπορεῖεν, ἀλλὰ θαρρήσαιεν τοὺς συντελεῖς τοὺς ἡμετέρους ἀδικεῖν, ἢ τισιν αὐτοὺς περιβάλλειν ζημίαις, ἢ προῖκα ποιεῖσθαι τὰς δα-

Universidad Carlos III de Madrid. Biblioteca

πορίαν, ἀλλὰ τοῦ τὴν ἀρχὴν ἔχοντος τὸ ἀζήμιον ἔσται τοῖς συντελέσιν ἐκ τῶν ἐκείνων σιτήσεων ἀλλὰ μετὰ αὐτὰς ἀπαιτοῦντος, οἰκείῳ δὲ κινδύνῳ τοῖς συντελέσιν ἐξ αὐτοῦ τοῦ παρεκποιοῦντος τὸ ἀζήμιον. ἔστω δὲ καὶ οὗτος ὁ νόμος ἡμῖν ἐπὶ Παφλαγόσι κείμενος, ποιῶν αὖθις τὴν ἀρχὴν σεμνοτέραν καὶ ἐν ταῖς περιβλέπτοις ἀριθμουμένην, καὶ διδοὺς αὐτῇ κατὰ τῶν στρατιωτῶν τῶν ἐπιχωρίων ἐξουσίαν, ἐν οἷς αὖ αὖθις μετὰ τοῦ δικαίου προστάτην, καὶ κατὰ τῶν ἄλλων ἁπάντων τῶν τῆς ἐπαρχίας αὐτῆς χρῆσθαι προνομίῳ μὴ δυναμένων· κἂν εἰ μείζονες, κἂν εἰ τυχὸν ἐλάττονες, κἂν εἰ πραγμάτων προΐσταντο δυνατοῖς προσηκόντων ἀνθρώποις. Καὶ ἐπιμελήσεταί γε διαφερόντως τοῦ κατ' ἐκείνους ῥᾳδίως ἁμαρτανομένου τοὺς τόπους, τὸ μὴ συγχωρεῖν τίτλους ἐπιτιθέναι χωρίοις τισὶν, ἀναγεγραμμένους εἰς τινὸς ὄνομα τῶν ἄλλων πλὴν τοῦ δημοσίου τε καὶ τῶν βασιλικῶν οἴκων· ἀλλ' εἴ τι τοιοῦτον εὕροι γινόμενον, τοὺς μὲν τίτλους αὐτίκα καθαιρήσει, τοῖς δὲ ἐκείνου χωρίοις τοῦ ταῦτα ἁμαρτάνοντος, εἴγε παρὼν ταῦτα πράττοι, τίτλους ἐπιθήσει πάντως ὀνόματι τοῦ δημοσίου, πρότερον τοὺς καθαιρεθέντας τίτλους εἰς τὴν ἐκείνου περιρηγνὺς κεφαλήν· εἰ δὲ ἀπὼν εἴη, τὸν τῶν χωρίων προεστῶτα συλλαβὼν, τὸ σῶμά τε αὐτοῦ βασάνοις ὑποβαλεῖ, τοὺς τίτλους τε καὶ οὕτως εὐθὺς καθαιρήσει, εἰς κεφαλὴν τοῦ προεστῶτος τῶν χωρίων αὐτοὺς κατεάξας. γινώσκων ὡς εἰ τοιοῦτό τι παρίδοι, καὶ μάθοιμεν τίτλους ἐπικειμένους παρά τινων ἐπιτεθέντας ἄλλων πλὴν τοῦ τε δημοσίου τῶν τε βασιλικῶν οἴκων ἡμῶν τε καὶ τῆς εὐσεβεστάτης αὐγούστης, τόν τε ἄρχοντα μαθόντα τὸ γινόμενον περιορᾶν, αὐτὸς ὁ τὴν ἀρχὴν ἔχων ὑποστήσεται δήμευσιν· ὡς παρὸν ταῦτα ῥᾳδίως κωλύειν, τῷ μεγέθει χρώμενον τῆς ἀρχῆς, ὅμως ἐξεπίτηδες τούτων ὑπερορῶντα. Κἀκείνου δὲ θέσθαι πρόνοιαν αὐτὸν βουλόμεθα, τοῦ πᾶσι λῃστεύουσιν ἐπεξιέναι, καὶ τοῖς ἁρπάζουσι τοὺς ἀλλοτρίους βίους ἢ καὶ γυναῖκας, καὶ ἄλλα ἐγκλήματα ἐργαζομένοις, συνέχειν τε αὐτοὺς καὶ τιμωρίαις ὑποβάλλειν προσηκούσαις, καὶ πᾶσαν ἀδικίαν ἀναστέλλειν, καὶ μὴ συγχωρεῖν ἔν τινι τοὺς ἐπιεικεστέρους ἀδικεῖν. ὥστε μὴ πάλιν ἡμᾶς ἑτέρων δεῖσθαι τῶν τοῖς τοιούτοις ἐπεξιόντων, καὶ πάλιν ἀνεγείρειν βιοκωλυτῶν καὶ λῃστοδιωκτῶν, καὶ ἑτέρων τοιούτων ὀνομάτων τε καὶ πραγμάτων. ἅπερ ἡμεῖς ἀποστρεφόμενοι, πρὸς ταύτην αὐτὸν τὴν τάξιν ἠγάγομεν. καὶ οὕτως αὐτῷ σεμνὴν τὴν ἀρχὴν πεποιήκαμεν, ὥστε καὶ τὰς ἐκκλήτους τὰς αὐτῷ δικάζοντι διδομένας, πρός τε τὴν σὴν ὑπεροχὴν καὶ τοὺς κατὰ καιρὸν τὴν αὐτὴν παραληψομένους ἀρχὴν, πρός τε τὸν πανεύφημον κυαίστωρα τοῦ θείου ἡμῶν παλατίου, οἵπερ κατὰ τάξιν κονσουλταπίωνος αὐτῶν ἀκροάσονται· τὰς δὲ ἐλάττους τῶν πεντακοσίων νομισμάτων δίκας τὰς κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ κινουμένας, παρά τισιν ἑτέροις σπεκταβιλίοις, εἰ καὶ ἐκ παραπομπῆς εἶεν, ὅταν ἔφεσιμοι γίνωνται, πρὸς ἑαυτὸν ἄγειν, ἐν τῇ τοῦ θείου δικαστηρίου τάξει· ἵνα πανταχόθεν καὶ αὐτὴ συναριθμοῖτο ταῖς ἀρχαῖς ταῖς παρ' ἡμῶν ἐξηυρημέναις, καὶ εἰς σεμνότερον ἀναχθείσαις σχῆμα. ἔσονται γὰρ δὴ καὶ αὐταὶ μείζους, καὶ τῶν προτέρων ἀξιολογώτεραι, καὶ ῥᾳδίως ἡμῖν πρὸς τὰ μείζονα τῶν πραγμάτων ὑπηρετήσονται. μηδὲν γὰρ ἐν μικρῷ καθεστάναι μέγα, καὶ τοῖς πρὸ ἡμῶν εἴρηται, καὶ ἡμῖν γε αὖθις ἐπ' αὐτῶν ἐγκέκριταί τε καὶ δεδοκίμασται τῶν ἔργων. ὑποτεθήσεται τοίνυν ἀπογραφὴ καὶ τῷδε τῷ νόμῳ, δηλοῦσα τί μὲν λήψεται παρὰ τοῦ δημοσίου, τοῦτο μὲν ὁ τὴν ἐπαρχίαν ἰθύνων αὐτὸς, τοῦτο δὲ ὁ πάρεδρος, καὶ ἡ τάξις αὐτοῦ· τί δὲ διδοὺς, τὰ τῆς ἀρχῆς παραλήψεται σύμβολα. ὁ δὲ τρόπος καθ' ὃν ἄρξει, κἀνταῦθα μὲν ἐν βραχεῖ διήρθρωται, φανερὸς δὲ αὐτῷ καὶ παρὰ τοῦ νόμου γενήσεται τοῦ περὶ

Universidad Carlos III de Madrid. Biblioteca

πασῶν τῶν ἀρχῶν ἐν κοινῷ γραφέντος, καὶ παρὰ τῶν βασιλικῶν ἡμῶν παραγγελμάτων, ἅπερ αὐτῷ δώσομεν ὅτε καὶ τὰ τῆς ἀρχῆς διδόναι μέλλομεν σύμβολα, καὶ τὸν ὅρκον ἀπαιτοίημεν, τοῦτο δὴ τὸ κατὰ τὸν νόμον τὸν ἡμέτερον γεγραμμένον. Ταῦτα τοίνυν ἅπαντα ἡ σὴ ὑπεροχὴ γινώσκουσα, τοσαύτας τε αὐτῇ τὰς σιτήσεις ἐπιδιδότω, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην ὡς πολλοῖς εἰκότως ἔσεσθαι περισπούδαστον, τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν αὐτοῖς τε καὶ ἀξιώματος ἐπιθυμίᾳ. DAT. XV. K. AVG. BILIS. V. C. CONS.

## Περὶ τοῦ ἀνθυπάτου Καππαδοκίας. Διάταξις λ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΑΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΠΟΣΟΝ ἐστὶ τὸ Καππαδόκων ὄνομά τε καὶ ἔθνος, καὶ ὅπως τὴν ἀρχὴν ἵνα κτηθείη τὰ πράγματα παρέσχε Ῥωμαίοις, οἱ τῆς ἀρχαίας πολυμαθείας οὐκ ἠγνοήκασιν ἐρασταί. τοῦ τε γὰρ Πόντου σχεδὸν παντὸς ἐξῆρχε, καὶ ἄνδρες ὀνομαστότατοί τε καὶ φροντίδος ἄξιοι Ῥωμαίοις γενόμενοι, μεγάλως ἐκεῖθεν ἤνθησαν. γῆ τε αὐτοῖς ἐστὶ πολλή τε καὶ θαυμαστή, καὶ οὕτως ἀρέσασα τῇ βασιλείᾳ, ὡς καὶ ἀρχὴν ἐπιστῆσαι τῶν ἐκεῖσε κτήσεσιν ἰδίαν, τῆς πολιτικῆς ἀρχῆς οὐκ ἐλάττω, μᾶλλον μὲν οὖν καὶ μείζω. πολυανθρωποτάτη τε γὰρ καθέστηκε, καὶ πόλιν τε παρέχεται μεγίστην, τοῦ φιλτάτου Καίσαρος ἡμῖν ἐπώνυμον, τοῦ δόντος ἀρχὴν ἀγαθὴν τῇ καθ' ἡμᾶς μοναρχίᾳ. δι' ὃν ἐν ἅπασι τοῖς τῆς γῆς ἔθνεσιν ὀνομαστότατόν ἐστι τὸ τοῦ Καίσαρος ὄνομα, καὶ ὥσπερ ἡμεῖς ἀντ' ἄλλου τινὸς τῶν τῆς βασιλείας συμβόλων σεμνυνόμεθα. ταύτην δὴ τὴν χώραν ἀρχῇ παραδεδόσθαι μικρᾷ, σφόδρα ἡμῖν ἐφαίνετο τοῦ προσήκοντος ἀνάξιον. ἄλλως τε καὶ στασιαζουσῶν αὐτὴν ἀεὶ πρὸς τὴν ἐφεστῶσαν τοῖς ἡμετέροις οἴκοις θεωρουμένην ἀρχήν· καὶ μεμερισμένα γε τὰ τῆς πόλεώς ἐστι. καὶ τὸ μέν τι ταμιακὸν ἐστὶν αὐτῆς, ἐλευθερικὸν δὲ καλοῦσι θάτερον. καὶ μία μὲν ἐστὶν ἡ πόλις τῷ περιβόλῳ, διπλῆ δὲ ταῖς γνώμαις, ὥστε καὶ στάσεων ἀφορμὴ καὶ διχονοίας, καὶ εἴ τι κακὸν ἀνθρώποις ἐνοχλεῖ, παρὰ ταύτης ἐστὶν, ὥσγε οἰόμεθα, τῆς προφάσεως. ἣν ἀνελόντες, ἰσχύν τε ἅμα καὶ ὁμόνοιαν τῷ πράγματι δώσομεν· ἧς οὐ μή ποτε ἂν οὐδὲν ἐν ἀνθρώποις γένοιτο κάλλιον. Ταῖς μὲν οὖν ἄλλαις ἀρχαῖς, ἃς ἔναγχος ἐν Πισίδαις τε καὶ Λυκάοσι καὶ Θρᾳξὶ κατεστήσαμεν, ἐκ διπλῆς τινος συνόδου τὸ σχῆμά τε καὶ ἄθροισμα καθέστηκε· ταύτην δὲ δὴ τὴν Καππαδόκων μείζονι κατακοσμῆσαι βουλόμενοι σχήματι, τριπλῆν ἐπιτίθεμεν τὴν ἐξουσίαν αὐτῇ. ὁ γὰρ κατὰ ταύτην τὴν ἀρχὴν ἡγήσεται μὲν τοῦ νόμου καὶ τῆς πολιτικῆς ἁπάσης τάξεως, ἡγήσεται δὲ καὶ τῶν στρατιωτῶν, τῶν τε ἐπὶ τῆς εἰρημένης χώρας, τῶν τε ἐν ταῖς ἄλλαις ἐπαρχίαις τῆς Ποντικῆς διοικήσεως ἱδρυμένων, ἐν αἷς τὰ ταμιακὰ χωρία καθέστηκεν, ὥσπερ ἂν εἰ στρατιωτικὸς αὐτόθι ἐτύγχανεν ἄρχων. δώσομεν δὲ αὐτῷ καὶ τῶν ταμιακῶν ἀρχὴν ἀνθρώπων· καὶ πάντες ὁπόσοι τῆς πριβάτης κομητιανῆς εἰσὶ τάξεως (σουμμάριοί τε φαμὲν, καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστι) κατακούσονται τούτου. καὶ τριαδικὸν ἔσται τὸ σχῆμα τὸ συνάγον αὐτῷ τὴν ἀρχήν. ὁ γὰρ αὐτὸς πολιτικός τε ἔσται ἄρχων, καὶ στρατιωτικὸς, καὶ τῶν ταμιακῶν ἡγήσεται πραγμάτων, ὑπουργούσης ἑκατέρας αὐτῷ τάξεως, τῆς τε κομητιανῆς (ἥπερ καὶ τὰ οἰκεῖα πράξει, καὶ οὐδὲν ἐπικοινωνήσει τῇ πολιτικῇ τάξει) τῆς τε τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος. πᾶσαν δὲ ἀνθυπατικῶν γε-

Universidad Carlos III de Madrid. Biblioteca

νέσθαι τε καὶ καλεῖσθαι βουλόμεθα, τῆς τάξεως μὲν μίαν ἐχούσης προσηγορίαν, τὴν τῆς ἀνθυπατιανῆς φαμὲν, τὰ μέντοι οἰκεῖα διῃρημένως πραττούσης, τῆς τε πρώην κομητιανῆς, τῆς τε πρώην πολιτικῆς. ὥστε τὴν μὲν πολιτικὴν ἐπιμελεῖσθαι τῶν δημοσίων τε καὶ πολιτικῶν ὅσα εἰς αὐτὴν ἀνήκειν ἄνωθεν ἴσμεν, τὴν δὲ πρώην κομητιανὴν τάξιν ἐφεστάναι τῇ τῶν βασιλικῶν πραγμάτων διοικήσει, καὶ τὴν εἴσπραξιν ποιεῖσθαι καθ' ὅπερ νῦν ὑφηγησόμεθα σχῆμα. Τὸ μὲν γὰρ τῶν ἐπιτρόπων καὶ τῶν πρακτευτῶν ὄνομα οὐδὲ εἶναι παντελῶς βουλόμεθα, πρὸς τὰ ἔμπροσθεν βλέποντες παραδείγματα, καὶ τὴν πολλὴν αὐτῶν ἐπήρειαν, ἣν τοῖς ἀθλίοις ἐπῆγον συντελέσιν. ὀνομάζεσθαι δὲ βουλόμεθα κατ' οἰκίαν ἑκάστην, κινδύνῳ τῆς ὅλης κομητιανῆς τάξεως, καὶ τῶν δεκατριῶν τῶν πρωτευόντων (οὓς δὴ μαγίστερας πρώτους καὶ δευτέρους καλοῦσιν) ἑτέρους τοὺς μετ' αὐτοὺς εὐθὺς ἀποκρινομένους δεκατρεῖς, ἕνα, ὡς εἴρηται, κατ' οἰκίαν ἑκάστην. τούτους δὲ δὴ τοὺς μετὰ τοὺς προτέρους δεκατρεῖς ποιεῖσθαι τὴν εἴσπραξιν, καὶ πληροῦν τῷ οἰκείῳ τὸ δημόσιον· προνοεῖν δὲ καὶ τῆς ἀπαθείας τῶν συντελῶν, ἐφ' ᾧ παρὰ μηδενὸς αὐτοὺς μηδεμίαν ὑφίστασθαι βλάβην· γινώσκοντας ὡς ἡ ἐντεῦθεν ἐπιγινομένη ζημία τοῖς ὑποτελέσιν, πολλῷ πλέον τὴν αὐτῶν ὄψεται περιουσίαν, οἷα καὶ τοῦ κινδύνου ἐπ' αὐτοὺς φερομένου πάσης τῆς δημοσίας εἰσπράξεως. Μηδ' ὁτιοῦν δὲ παρέχειν παντελῶς μηδὲ τοὺς πρώην καλουμένους πρώτους καὶ τοὺς δευτέρους μαγίστερας, μήτε τοὺς μετ' αὐτοὺς νῦν δεκατρεῖς (οὓς ἐθεσπίσαμεν τὴν ἄνυσιν τῶν δημοσίων ποιεῖσθαι) μήτε ἄλλον μηδένα τῶν τῆς κομητιανῆς τάξεως, τῷ κατὰ καιρὸν περιβλέπτῳ ἀνθυπάτῳ, ἢ προφάσει ὀνομασίας, ἢ ἑτέρας οἱασδήποτε αἰτίας, μόνον δὲ quinquaginta solidorum παρὰ ἑκάστου τῶν δεκατριῶν πρακτόρων τοῖς προτέροις τρισκαίδεκα μαγίστερσι παρεχομένων.

Αὐτοὺς μέντοι τοὺς ἀπαιτητὰς μηδ' ὁτιοῦν κομίζεσθαι πλέον παρὰ τῶν γεωργῶν, ἢ τῶν ὅλως ὑποκειμένων δι' αὐτῶν τὴν εἴσπραξιν, πλὴν τῶν περιεχομένων τοῖς τύποις Νικήτου τοῦ τῆς μεγαλοπρεποῦς μνήμης, καὶ ἀφορισθέντων τοῖς ἀπαιτηταῖς· μὴ δυναμένων αὐτῶν πλάττειν ὀνόματα, καὶ ὑπὲρ τῶν ὀνομάτων τούτων ἐπάγειν ζημίας, ἀπαιτικῶν τε ἕνεκεν, ἢ πρακτευτικῶν, ἢ ἑτέρας οἱασδήποτε προφάσεως, εἴτε εἰς συνήθειάν τινα δῆθεν ἀναφερομένης, εἴτε εἰς οἱανοῦν ἐπήρειαν. ἴστων γὰρ πάντων ἐλευθέρους τοὺς ἡμετέρους ὑποτελεῖς φυλάττεσθαι βουλόμεθα. μάλιστα γὰρ αὐτοὺς ἐλευθεροῦμεν τοῦ πονηροῦ τε καὶ ὀλεθρίου δασμοῦ, ὃν τοῖς κατὰ καιρὸν παρέχοντες πρακτευταῖς ἠλαττοῦντο περί τε τὸ δημόσιον περί τε τὰς οἰκείας ἀπογραφάς. ἀλλὰ κἂν εἴ τις τύπος ἦν βουλόμενος παρέχεσθαί τι τοῖς πρακτευταῖς, ἢ μακρὰ συνήθεια, καὶ ταύτην ἀναιροῦμεν. αὐτὸ γὰρ δὴ τὸ τοῦ πρακτευτοῦ περιελόντες ὄνομα, καὶ πᾶν τὸ εἰς αὐτὸν ἀνῆκον εἰκότως συναφαιροῦμεν, ταύτην ἰδικὴν φιλοτιμίαν τοῖς ἡμετέροις ὑποτελέσι διδόντες. εἰ δέ τις θαρρήσειε τῶν πρακτόρων ἕτερόν τι λαβεῖν παρὰ τὰ διωρισμένα τῷ τύπῳ Νικήτου τοῦ μακαριωτάτου (ταῦτα γὰρ μόνα κομίζεσθαι συγχωροῦμεν αὐτοῖς) ἴστω καὶ τῆς στρατείας καὶ τῆς ἀξίας καὶ οὐσίας ἐκπεσούμενος τῆς αὐτοῦ. Ἐπειδὴ δὲ εἰκός ἐστιν ἐν τοῖς δέκα καὶ τρισὶ πράκτορσι (διότι κατὰ βαθμὸν εἰς ταύτην προϊέναι τὴν τάξιν αὐτοὺς θεσπίζομεν) οὐκ εἶναι πρὸς τὸ πρᾶγμα ἐπιτήδειον, μένειν μὲν αὐτῷ καὶ οὕτως τὴν ἐκ τοῦ βαθμοῦ πρόσοδον συγχωροῦμεν, θεσπίζομεν δὲ τοὺς δεκατρεῖς τοὺς προτέρας μαγίστερας, καὶ πρός γε τοὺς μετ' αὐτοὺς ἕτερόν τινα βοηθὸν αὐτῷ προσονομάζειν, κινδύνῳ οἰκείῳ καὶ τῶν ὄντων αὐτοῖς πραγμάτων, ὃς τῷ πράγματι χρήσει)

Universidad Carlos III de Madrid. Biblioteca

προσηκόντως· ὥστε μήτε τὸ δημόσιον ἀδικεῖσθαι διὰ τὴν ἀσθένειαν τῶν ἐκείνου, μήτε ἐκείνους ἐκπίπτειν τῶν ἐκ τοῦ χρόνου καὶ τοῦ βαθμοῦ παραμυθίας· δηλαδὴ κινδύνῳ τῶν δεκατειανῶν μαγιστέρων καὶ τῶν ἄλλων τῶν μετ' αὐτοὺς, τῆς τοῦ βοηθοῦ τοῦ μὴ πρὸς τοῦτο ἐπιτηδείου προβολῆς γινομένης, ὡς εἴρηται. Καὶ μεγάλην ἡμῖν τοὺς τῶν δημοσίων πράκτορας δέησει χάριν ὁμολογεῖν, ἀπαλλάττουσιν αὐτοὺς τῶν πολλῶν ἐκείνων ζημιῶν ἃς ἔμπροσθεν τοῖς μαγιστέροις παρεῖχον, καὶ τὰς κατὰ καιρὸν περιβλέπτῳ κόμητι καὶ τῇ αὐτοῦ τάξει. διὰ τοῦτο δὲ αὐτοὺς τούτων ἁπάντων ἠλευθερώσαμεν, ἵνα μηδὲ αὐτοὶ τοὺς ὑποτελεῖς ἀδικοῖεν, μηδὲ τὰς προφάσεις ἐκείνας, ἃς εἰς ἐπήρειαν ἐπινοοῦντες, introitus τε καὶ ἕτερα ὀνομάζοντες, τὸν τῶν γεωργῶν καταλύουσι βίον· ἀλλὰ μόνοις ἀρκούμενοι τοῖς παρεχομένοις τοῖς ἐπιδόσιμοις, κατὰ τὸν τύπον Νικήτου τοῦ τῆς λαμπρᾶς μνήμης, τῶν ἄλλων ἁπάντων ἀπέχοιντο. Αὐτῷ δὲ τῷ περιβλέπτῳ ἀνθυπάτῳ ἁπάντων ὁμοίως ἔσται φροντὶς, εἴτε καθέστηκέ τι πολιτικὸν, εἴτε εἰς τὴν στρατιωτικὴν ἀρχὴν, εἴτε εἰς τὴν ταμειακὴν ἐξουσίαν βλέπον· καὶ οὐδενὸς ἀμελήσει τῶν πάντων, ἐπειδὴ καὶ μείζονα τῶν ἄλλων ἀρχόντων δοῦναι τούτῳ βουλόμεθα. νενομισμένου γὰρ τοῖς πάλαι Ῥωμαίοις τὰς ἐπαρχίας ἀποκληροῦν ἢ τοῖς γινομένοις ὑπάτοις, ἢ τοῖς ἀπ' ἐκείνων στελλομένοις (οὓς ἀνθυπάτους ἐκάλουν) διὰ τοῦτο καὶ τὴν Καππαδοκῶν ἀρχὴν ἀνθυπατείαν εἶναι βουλόμεθα, ᾗ τινι Ῥωμαῖοι πρότερον τὴν ἐν Ἀφρικῇ κατεκόσμουν ἀρχήν. ἣν ἡμεῖς νῦν τοσοῦτον ηὐξήσαμεν, ὡς τὸν παραλαμβάνοντα ταύτην τοῖς ἐνδοξοτάτοις ὑπάρχοις τῶν ἱερῶν ἡμῶν συναριθμῆσαι πραιτωρίων. καλείσθω τε ὁ ταύτης ἡγούμενος τῇ πατρίῳ φωνῇ, procōſul Iuſtinianus Cappadociæ. ὥστε καὶ τὸ τῆς ἀρχῆς ἔχειν ἴδιον, καὶ τῷ ἀρχηγέτῃ συνονομάζεσθαι τῷ πράγματι. δέξαιτο γὰρ ἂν ὁ τῆς ἀρχῆς κρατῶν τὸ τοιοῦτον σχῆμα ῥᾳδίως. ἐπεὶ καὶ πολλὴν ἔχει τὴν ἐξουσίαν, ἐκτεινομένην προφάσει τῆς ταμειακῆς κτήσεως καὶ εἰς τόπους ἑτέρους· καὶ ὅλως ἔσται σεμνὴ, τοσούτοις ἐφεστῶσα πράγμασί τε καὶ ἀνθρώποις, καὶ διὰ τοῦτό γε εὐκολώτερον ἅπαντα, τῆς στρατιωτικῆς αὐτῷ προσζευγνυμένης ἰσχύος. τὰ μὲν οὖν πολιτικὰ πράξει κατὰ τὸν τρόπον δὴ τὸν συνηθισμένον· τῶν στρατιωτῶν δὲ ἡγήσεται σφόδρα εὐκόλως, οἷα κἀκείνων ὑποκεκλιμένων αὐτῷ. προεστηκέτω δὲ μάλιστα τὸν νοῦν τῇ τῶν ταμειακῶν διοικήσει πραγμάτων. ἅπερ εἰς οὕτω δεινὴν καὶ πανταχόθεν κεκαπηλευμένην ἐξωλίσθησεν ἀπορίαν, ὡς μηδενὸς ἄξια σχεδὸν αὐτὰ καθεστάναι. τοσαῦτα γὰρ μεμαθήκαμεν ἁμαρτάνεσθαι κατὰ τὴν χώραν, ὅσα μόλις ἀνδρὶ τῶν μεγίστων ἔσται πρὸς θεραπείαν εὔκολα. οἱ γὰρ τὰς τῶν δυνατῶν ἐπιτροπεύοντες κτήσεις ἀλλ' ἤδη καὶ ἐρυθριῶμεν εἰπεῖν μεθ' ὅσης ἀλῶνται τῆς ἀτοπίας, καὶ ὡς δορυφόροι τε αὐτοῖς θεραπεύουσι, καὶ πλῆθος ἀνθρώπων οὐ φορητὸν ἀκολουθεῖ, καὶ λῃστεύουσιν ἅπαντες ἀναιδῶς· καὶ θαυμάζομεν ὅπως ἄχρι νῦν τὸ κατ' ἐκείνην ὑπήκοον ἐξήρκεσεν ἀδικούμενον. τοιγαροῦν ἡμέρας ἑκάστης ἐνοχλουμένοις τε ἡμῖν καὶ τὰ κοινὰ πράττουσι πλῆθος προσίστασι Καππαδοκῶν ἀδικουμένων· καὶ πολλοὶ μὲν ἐν αὐτοῖς ἱερεῖς, γυναῖκες δὲ ὡς πλεῖσται· καὶ πάντες ὀδύρονται, καὶ τὴν τῶν οἰκείων ἀφαίρεσιν αἰτιῶνται πραγμάτων. ἐπεὶ μήτις ἐστὶ συνεχὴς ὁ τὰ τοιαῦτα κωλύειν ἰσχύων. ἡ ταμειακὴ δὲ κτῆσις ἤδη σχεδὸν ἰδιωτικὴ γέγονεν ὅλη, διασπωμένη τε καὶ ἁρπαζομένη σὺν αὐταῖς ταῖς τῶν ἵππων ἀγέλαις· ἀντιφθεγγομένου παντελῶς οὐδενὸς, ἀλλὰ τοῦ στόματος αὐτοῖς ἐμφραττομένου χρυσίῳ. διὰ ταῦτα τοίνυν ἕνα τῶν ἡμῖν γνωριμωτάτων ἐπιστῆσαι τῇ χώρᾳ ταύτῃ βουλόμεθα, ὃς δὴ ταύτης τῆς τριπλῆς ἡγήσεται τάξεως, μόνος ἐν αὐτῷ τὴν ὅλην πρε-

Universidad Carlos III de Madrid. Biblioteca

φέρων ἀρχήν τε καὶ ἐξουσίαν καὶ χρώμενος μὲν τοῖς παρασήμοις τῆς πολιτικῆς ἀρχῆς, σχῆμά τε ἐξ ἀργύρου καὶ πέλεκυν καὶ ῥάβδους ἔχων, καὶ ὅσα σημεῖα καθέστηκεν ἀρχαῖα τοῦ νόμου· ἐπιτάξει δὲ καὶ τοῖς στρατιώταις, καὶ ἐπιμελήσεται τῶν ταμιειακῶν πόρων, ὥστε φυλάττειν αὐτοὺς ἀνελλιπῶς ἁπάσαις ταῖς ἐπὶ τούτῳ τεταγμέναις ἀρχαῖς καὶ πολλῷ μᾶλλον εἰς τὰ ἡμέτερα βασίλεια. καθάπερ καὶ νῦν προσέρχονται, προφάσει τῶν τε εἰς ἡμᾶς κομιζομένων τῶν τε εἰς τὴν θειοτάτην καὶ εὐσεβεστάτην αὐγούστην, τὴν ἡμετέραν σύμβιον, ἔν τε χρυσίῳ καὶ ἐσθῆτι. οὐδὲν γὰρ ἐκ τούτων ἐλαττωθῆναι βουλόμεθα· οὐ μὴν κατὰ τὸ τοιοῦτον δίδοσθαι σχῆμα καθάπερ μέχρι νῦν, ἔκ τε κλοπῶν καὶ τῆς τῶν ὑποτελῶν ἐπηρείας, καὶ δόσεως ὀνόματι (ταῦτα γὰρ ἅπαντα καὶ μισοῦμεν, καὶ τῆς ἡμετέρας ἐκβάλλομεν πολιτείας) ἀλλ' ἐξ αἰτιῶν δικαίων τέ καὶ νομίμων, ἃς καὶ ὑποτεθῆναι τῷδε τῷ θείῳ ἡμῶν προσεκελεύσαμεν νόμῳ. ὥστε ταύτας κομιζόμενον τὸν κατὰ καιρὸν ἔχοντα τὴν ἀρχὴν, εἰσφέρειν, ὡς εἴρηται, τὰς quinquaginta τοῦ χρυσίου λίτρας τῇ θειοτάτῃ αὐγούστῃ τῇ ἡμετέρᾳ συμβίῳ. τὴν γὰρ ἀρχὴν προῖκα καθιστῶμεν ἡμεῖς, καὶ ἀδωρότατον τὰς χειροτονίας ἐπ' αὐτῇ τιθέμεθα. καὶ ἔσται παντελῶς οὐδὲ εἷς ὃς ὑπὲρ ταύτης τι λήψεται. ἀλλὰ καὶ σίτησιν αὐτῷ μὲν ἄχρι χρυσίου λιτρῶν viginti δίδομεν, καθὼς ὑποτέτακται. τῷ δὲ αὐτοῦ παρέδρῳ, ἄχρι χρυσίου λιτρῶν δύο πρὸς ἑκατόν. λήψεται δὲ καὶ ἡ τάξις ἑκατέρα τὸ παρὰ τοῦ δημοσίου μέχρι νῦν χορηγούμενον, κατ' οὐδὲν παντελῶς ἐλαττούμενον. οὐδὲ γὰρ κατά τι τὴν ἀρχὴν ταύτην ἐλαττοῦμεν, καὶ μάλιστα τοῦ ἐνδοξοτάτου ἡμῶν πραιποσίτου τῶν θείων ἡμῶν κοιτώνων. μέλλει γὰρ ἐπὶ Καππαδοκίᾳ καὶ αὐτὴν καὶ τὴν ὑπὸ αὐτὸν τῶν καθοσιωμένων παλατίνων σχολὴν ἐπὶ τῆς ὁμοίας ἐξουσίας τέ καὶ τάξεως καὶ ταὐτοῦ σχήματος θεσπίζομεν· οὐδὲν μέντοι παντελῶς ἐντεῦθεν κομιζομένην, οὔτε λόγῳ συνηθειῶν, οὔτε ἀννόνων· οὔτε ἐν χρυσίῳ, οὔτε ἐν ἐσθῆτι, οὔτε ἐν ἑτέροις εἴδεσιν· οὔτε παρὰ τοῦ κατὰ καιρὸν ἀνθυπάτου, οὔτε παρὰ τῆς αὐτοῦ τάξεως. οὐ γὰρ ἂν ἄλλως τὸ καθαρὸν φυλαχθείη. ὑπὸ μίαν γὰρ τὸ πρᾶγμα συνάγομεν ἐπὶ τῆς χώρας ἀρχήν, ἵνα μή πως διεσπᾶσθαι χωλεύῃ. Πρόνοιαν τοίνυν καὶ αὐτὸς ὁ παρ' ἡμῶν στελλόμενος θήσεται πολλὴν τῆς ταμιειακῆς κτήσεως, καὶ ὄψεται τὸ παραιρεθὲν τῆς ταμιειακῆς γῆς, καὶ μάτην ὑφ' ἑτέρων κατεχόμενον, εἴτε ἐν νομαῖς, εἴτε ἐν ἀρουσίμοις, εἴτε ἐν οἰνοφύτοις τόποις, εἴτε ἐν χωρίοις, εἴτε ἐν οἴκοις· καὶ ἐκδικήσει τῷ πράγματι τὴν ἀρχαίαν γῆν, οὐδεμιᾶς ἀντιτιθεμένης αὐτῷ χρονίας παραγραφῆς. οὐ γὰρ ἄν τις ἀντιθείη τοιοῦτό τι τῷ δημοσίῳ, οὐδὲ πρὸς κέρδος πράττων, οὐδὲ ἵνα τὴν οὐσίαν αὐξήσειεν τὴν αὐτοῦ. τοῦτο γὰρ ἐλάττωσις μᾶλλον ἤπερ αὔξησίς ἐστι, τὸ χερσὶ ῥυπώσαις χρώμενον οἴεσθαί τι κερδαίνειν, ὅπερ ὕστερον ἀποτίσει σὺν ἀσεβείᾳ τέ καὶ αἰσχύνῃ πολλαπλάσιον. ἀλλὰ καὶ τὴν πόλιν διαφυλάξει παντοίως ἀτάραχον, καὶ στάσιν οὐ συγχωρήσει λυμήνασθαι τῷ πολιτεύματι. τοὺς δημοσίους τέ φόρους ἀγρύπνως καὶ μετὰ δικαιοσύνης εἰσπράξει, οὐδὲν τῶν κατ' ἐκείνους ἀμελῶν, οὐδὲ συγχωρῶν ἢ τὸ δημόσιον ἢ τοὺς ἰδιώτας κατά τι περὶ τὰ οἰκεῖα ζημιοῦσθαι, οἷα τὴν κατὰ πάντων ἐξουσίαν ἔχων· εἴτε στρατιῶται, εἴτε σκρινιάριοι τῶν τε ἐνδοξοτάτων ὑπάρχων τῶν τε ἀνδρειοτάτων εἶεν στρατηγῶν· εἴτε πολιτικὴν ἔχοιεν τάξιν, εἴτε ταμιειακὴν ζώνην, εἴτε ἐπὶ μειζόνων, εἴτε ἐπ' ἐλαττόνων ἀξιωμάτων εἰσί· εἴτε ἐν ἱεροῦσι τελοῖεν. εἷς γὰρ οὗτος ἅπασιν ἄρχων ἐπιστήσεται, τῆς τε αὐτὸς αὐτοῦ δόξης, τῶν τε ἡμετέρων νόμων, τοῦ τε θεοῦ πρὸ πάντων μεμνημένος. ὃς τοὺς μὲν δημοσίους φόρους διὰ τῆς ἀνθυπατιανῆς τάξεως ἀνελλιπῶς εἰσκομίζεσθαι φροντιεῖ, τοὺς δὲ ταμιειακοὺς πό-

ρους διὰ τῶν ὑποκειμένων ἐκείνῳ περὶ τὸν θρόνον προσώπων εἰσποίσει· καὶ τοῖς ἐξ ἔθους προστατουμένοις παρὰ τῶν ἐνδοξοτάτων πραιποσίτων τῶν θείων ἡμῶν προσέχων κοιτώνων· μὴ δυναμένων τῶν κατὰ καιρὸν ἐκπεμπομένων κανονικαρίων παρὰ τοῦ ἐνδοξοτάτου πραιποσίτου, μέχρις ὀβολοῦ γοῦν ἑνὸς κομίζεσθαί τι, ἢ ὀνόματι συνηθειῶν, ἢ ἑτέρας τινὸς οἱασοῦν αἰτίας, παρὰ τοῦ κατὰ καιρὸν σουμμαρίου, ἢ τῶν τὰς δημοσίας εἰσπράξεις ποιουμένων, ἢ τοῦ περιβλέπτου αὐθυπάτου, ἢ τῆς τάξεως τῆς αὐτοῦ, ἢ τῶν καλουμένων κατασκευαστῶν, ἢ πραιποσίτου, ἢ ἑτέρου οἱουδήποτε προσώπου ἀνήκοντος τῇ θείᾳ ἡμῶν περιουσίᾳ. Τῷ στρατιωτικῷ δὲ ἑκατέρᾳ τῶν φροντίδων τούτων βοηθήσει· παύσει τε τοὺς τῶν δυνατῶν δορυφόρους, καὶ οὐ συγχωρήσει τὰ χωρία πορθεῖσθαι καὶ ληστεύεσθαι. οὐδὲ αὐτὸς περιελεύσεται ταῦτα, καθάπερ οἱ πρὶν ἐποίουν κόμητες. οὐ μὴν οὐδὲ τοποτηρητὰς ἐκπέμψει· ἀλλὰ τοῖς τῶν τόπων ἐκδίκοις καὶ τοῖς ἐκ τῆς αὐτοῦ τάξεως πρὸς ὑπουργίαν χρήσεται. εἰ δέ που τῶν στρατιωτῶν αὐτῷ δεήσει, τοὺς ἐκ τῶν τόπων ἐν οἷς ἡ χρεία καλεῖ, βοηθεῖν προστάξει. καὶ οὗτοι δαπάναις οἰκείαις πάντα πράξουσι, καὶ οὐδὲν ζημιώσουσι τοὺς ὑπηκόους, οὐδὲ καταναλώσουσι προῖκα· ἀλλ' αὐτός τε τούτων ἀφέξεται, χρώμενος δαπάναις οἰκείαις ἔνθα ἂν εἴη (κἂν εἰ πρὸς ἑτέραν αὐτὸν προστάξοιμεν ἐλθεῖν χώραν) ὅ, τε πάρεδρος αὐτοῦ, καὶ ἡ λοιπὴ θεραπεία αὐθυπατιανόν τε τῶν στρατιωτῶν· τῶν εἴ τι τούτοις ἅπασιν οἰκετικόν τε καὶ ἐν ὑποζυγίοις ἐστί). ἀνάγκην ἐχόντων, καθάπερ εἰπόντες ἔφθημεν, τῶν στρατιωτῶν, καὶ εἴ τινες κατὰ τοὺς τόπους ἔχουσι, φοιδεράτοι τυχὸν ἢ δομέστικοι, τοῖς ἐπιτάγμασι πείθεσθαι τοῖς αὐτοῦ, τὸν ἐπὶ τῇ ζώνῃ καὶ τῇ περιουσίᾳ κίνδυνον εὐλαβούμενοι. δίδομεν γὰρ αὐτῷ παρρησίαν καὶ ταύτης αὐτοὺς ἀφαιρεῖσθαι, εἰ μὴ τοῖς ὑπ' αὐτοῦ προσταττομένοις ὑπουργοῖεν. διότι βουλόμεθα τὸν τὴν ἀρχὴν ἔχοντα ταύτην, φοβερόν τε καὶ αἰδέσιμον τοῖς ὑπηκόοις καθεστάναι. καὶ γὰρ εἴτε στρατιώτης, ἢ αὐθυπατικός, ἢ φοιδεράτος, ἢ δομέστικος, προφάσει τῶν ἐπιταγμάτων τῶν αὐτοῦ ζημιώσειε τὸν ἡμέτερον ὑποτελῆ, τοῦτο προσῆκόν ἐστιν αὐτὸν ἐκ τῆς ἐκείνου κτήσεως οἰκείῳ κινδύνῳ λαβόντα, θεραπεῦσαι τὸν ἠδικημένον. οὐ συγχωρήσει τε παντελῶς οὐδενὶ οὐδὲ τῶν ἐντεῦθεν φοιτώντων, ἀδικεῖν τοὺς ἡμετέρους ὑποτελεῖς· ἀλλὰ καὶ τὸν τῶν δημοσίων ἵππων δρόμον ἀνεπηρέαστον φυλάξει. οὐδὲν γὰρ ἐξαιροῦμεν τῆς δικαιοδοσίας τῆς αὐτοῦ. καὶ εἴ τις τῶν ἐξ οἱουδήποτε δικαστηρίου πρὸς τὴν χώραν φοιτώντων ἀδικοίη καὶ ὑπὲρ τὸ τεταγμένον ἀπαιτοίη, τοῦτον μετελεύσεται. Φροντίσει δὲ καὶ τῆς πόλεως, τῶν τε καλουμένων σιτωνικῶν, καὶ τῶν ἔργων τῶν αὐτῆς, καὶ παρασκευάσει κατὰ τὸν ἡμέτερον νόμον συγγράφεσθαι τοὺς λογισμούς, καὶ δαπανᾶσθαι καὶ τὰ ταμειακὰ καὶ πολιτικά. Καὶ εἴ τινα εὑρίζουσι τῶν τὰς συνήθεις δήπου ἐμφανεῖς καθιστώντων προστάξεις, ὅτι τις ἀφαιρεῖται τοῦ ὕδατος τοὺς ὁλκούς, ἢ ὅπως τὰ περὶ τὸ τεῖχος διάκειται, ἢ εἴ τινες εἰσὶ γέφυραι κατὰ τὴν χώραν, ὁδοί τε ὅσαι, καὶ εἴ τις ἄλλη τοιαύτη κατὰ τὸ πάλαι κακῶς πολιτευσάμενον καθέστηκε πρόφασις, καὶ τοῦτον ἀπελάσει πάντως τῆς χώρας, οὐ συγχωρῶν αὐτῷ οὐδὲ ἐμφανῆ τοιαύτην καταστήσασθαι πρόσταξιν, οὐδὲ κέρδος τι παντελῶς ἐκεῖθεν λαβεῖν. εἰ γάρ τινα συνίδοιμεν ἐπήρειαν γινέσθαι ταύτην ἡμεῖς, θείῳ πραγματικῷ χρώμενοι τύπῳ, πρός τινα τῶν ἀρχὴν ἔχοντα ταύτην, καὶ τῷ σῷ περὶ τούτων θρόνῳ κοινούμενοι τὸ πρᾶγμα διαθήσομεν, ὥστε μηδενὶ τὰς τοιαύτας ἀργυρολογίας βαταίς τε καὶ ἐπιδρομαῖς ῥᾳδίως γίνεσθαι. ὁ δὲ τὴν ἀρχὴν ἔχων, μάλιστα μὲν οἴκοθεν πάντα κωλύσει, εἰ δέ τινος καὶ σφοδροτέρου δεηθείη, μηνύσει τε πρὸς τὴν σὴν ὑπεροχήν, πρός τε τὸν ἐνδοξότατον πραιπόσιτον, πρός τε τοὺς ἄλλους πανευφήμους ἄρχοντας,



Universidad Carlos III de Madrid. Biblioteca

οἷς τις ἐστὶ πρὸς τὸ πρᾶγμα μετουσία, πρός τε ἡμᾶς αὐτούς· ἡμεῖς τε αὐτῷ τὸ
πρακτέον ὑφηγησόμεθα. Σπάθας δὲ ἀναπηδᾶν κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχει,
προσηγορίαν τινὰ ἐχούσας (ἐξῃρημένης τῆς βασιλείας καὶ τοῦ ταμείου) κωλύσει τό-
σουτον, ὥστε καὶ δημοσίαν ποιεῖν τὴν οὐσίαν τῶν τοιοῦτό τι πράττειν ἐπιχειρούντων, καὶ χει-
ρῶν ἀφαιρεῖσθαι τοὺς ταύτας ἐπιτιθέντας, εἰ παρόντες αὐτοὶ τολμῷεν· εἰ δὲ οἱ τῶν ἀπόντων
προνοοῦντες, μεγάλαις ἐκείνους ὑποθήσει βασάνοις. τοὺς μέντοι τίτλους ὅστις δή-
ποτε τολμήσειεν, εἴτε παρών, εἴτε ὑπὲρ ἀπόντος πράττων, ἀναθεῖναι, καθελὼν εὐ-
θὺς περιρρήξει ταῖς τῶν ἀναθέντων κεφαλαῖς· εἰδὼς ὡς εἰ ταῦτα μαθὼν ῥαθυμήσειεν,
αὐτὸς ἐπὶ τοῖς ἑαυτοῦ πράγμασι τῆς δημεύσεως αἰσθήσεται). Τῶν δικῶν δὲ ἐπιμε-
λήσεται σὺν πάσῃ συντονίᾳ, καὶ οὐκ ἐάσει τὸ γεωργικόν, καθάπερ μέχρι νῦν, ἀδικεῖ-
σθαι. οὐδὲ ἐνοχλήσουσιν ἡμᾶς ἔτι Καππαδόκαι, πολλὰ βοῶντές τε καὶ προσκυνοῦν-
τες, καὶ ὀδυρόμενοι· ἀλλ' αὐτὸς αὐτοῖς διαιτήσει. ἡμεῖς γὰρ εἴ τινα ἴδοιμεν ἐλθόντα, ὅς
οὐ πρότερον αὐτῷ τὰ οἰκεῖα προσωδύρατο πάθη, τοῦτον αὖθις ἐπὶ τὴν χώραν σὺν ἀ-
τιμίᾳ στελοῦμεν, διότι τὸν ἄρχοντα καταλιπὼν, εὐθὺς ἔδραμε πρὸς ἡμᾶς. εἰ δὲ οἱ
μὲν προσίοιεν, καὶ λέγοιεν τοὺς ἀδικοῦντας, αὐτὸς δὲ ἐκδεδιῃτημένος ἤδη καὶ τρυφῶν
οὐκ ἐπιστρέφοιτο τῶν λόγων, ἀλλ' οἰμώζειν τοὺς ἱκετεύοντας καταλιμπάνοι, οἱ δὲ ἀ-
ναγκασθεῖεν τρέχειν εἰς ἡμᾶς (καὶ μάλιστα εἰ γυναῖκες εἶεν) ἡμεῖς τε μάθοιμεν ὡς οἱ
μὲν προσῆλθον, ὁ δὲ οὐκ ἠμύνατο· τὸ πρᾶγμά τε εὐθὺς ὑποπτευσόμεθα ὡς ἢ διὰ
κέρδος, ἢ διὰ χάριν, ἢ διὰ θεραπείαν τινῶν γινόμενον, ἑαυτούς τε αὐτῷ πολεμίους
ἀντιστήσομεν· καὶ τριπλῆς αὐτῷ τῆς ἀρχῆς οὔσης, τριπλασίονα καὶ τὴν ἀντίστασιν ἕξει, πο-
λεμοῦντος αὐτῷ τοῦ δικαίου τε, καὶ ἡμῶν, καὶ τῶν νόμων. ἅπερ αὐτὸν προσήκει δεδιότα, καὶ τῶν
ἡμετέρων παραγγελμάτων ἀναμιμνησκόμενον, ἅτινα δώσομεν αὐτῷ σὺν τοῖς τῆς
ἀρχῆς συμβόλοις (ἐκάλουν δὲ ταῦτα καὶ οἱ πάλαι mandata principis) πάντα
πράττειν κατὰ τὸν ἡμέτερον σκοπόν, γνώμης τε ἰσότητι, καὶ καθαρότητι χειρῶν χρώ-
μενον· καὶ δικαιοσύνην τιμῶντα, ἧς οὐδὲν ἐν ἀνθρώποις ἐστὶν ἱερώτερόν τε καὶ κάλλιον,
οὐδὲ οἰκειοῦν θεῷ τε καὶ βασιλεῖ μᾶλλον δυνάμενον. ὄντα γὰρ αὐτὸν τοιοῦτον, καὶ οὕτω
παρ' ἡμῶν μαρτυρούμενον, μόνον ἅπαντα πράττειν κατὰ τὴν ἐπαρχίαν βουλόμεθα,
οὐδὲ δικῶν ἑτέρου τινὸς ἀκροωμένου, οὔτε ἡμῶν ῥᾳδίως αἱρησομένων ἑτέρῳ τινὶ πα-
ραπέμπειν αὐτάς, οὔτε ἐκπεμψόντων τινὰς ἢ προφάσει τοῦ βίας κωλύειν, ἢ κατ' ἄλ-
λην οἱανοῦν δήποτε αἰτίαν. πρὸς ὃ κἂν εἴ τι τοιοῦτο μέχρι νῦν γέγονεν, ἢ ἐκ θείων
ἡμετέρων τύπων, ἢ ἐκ προστάξεων ἀρχικῶν, τοῦτο πᾶσι σχολάζειν τρόποις, αὐτοῦ τὴν
ὅλην ἀναλαμβάνοντος τῆς ἐπαρχίας διοίκησιν, καὶ ἑτέρῳ πρόσοδον ἔχειν παντελῶς οὐ συγ-
χωροῦντος. Καὶ ταύτην δὴ τὴν ἀρχὴν, κατὰ τὸ τῶν ἀνθυπάτων ἴδιον, ἐν τοῖς περιβλέ-
πτοις τίθεμεν. καὶ τάς γε ἐκκλήτους τὰς παρ' αὐτοῦ τὴν ὑπεροχὴν ἅμα τῷ ἐνδοξο-
τάτῳ κοιαίστωρι τοῦ θείου ἡμῶν παλατίου, κατὰ τὸ τῶν cōsultationων σχῆμα, κρίνειν
βουλόμεθα. εἰ δέ τις ἐξ ἑκατέρας Καππαδοκίας δίκη πεντακοσίων ἐλάττων χρυ-
σῶν ἐφέσιμος γένηται, εἴτε ἐξ ἡμετέρας κελεύσεως ὁ δεδομένος εἴη δικαστής, εἴτε ἔκ
τινος ἀρχῆς (ὡς μέχρι μὴ περίβλεπτον αὐτὸν καθεστάναι) ταύτης αὐτὸς ὁ περίβλε-
πτος ἀνθύπατος ἀκροάσεται κατὰ τὸ τοῦ θείου δικαστηρίου σχῆμα, καὶ κατὰ τὸ θεῖον ἀ-
κροατήριον· δίκαιον γὰρ αὐτῷ καὶ τοῦτο δίδομεν, καὶ κοσμοῦμεν αὐτῷ τὴν ἀρχὴν
προνομίᾳ τοσαύτῃ, ὅσην οὐδεὶς μέχρι καὶ νῦν ἐν Καππαδόκαις ἐθεάσατο). ἔστω τε οὖν
δίκαιος καὶ ὑψηλογνώμων, καὶ εἰς ἡμᾶς τε καὶ τὸν νόμον ὁρῶν. καὶ γινώσκων ὡς εἰ μὲν
ταῦτα τηροίη, μενεῖ τε ἐπὶ τῆς ἀρχῆς ἐπὶ μακρὸν, καὶ διαδέξεταί γε αὐτὸν ἴσως ἑτέρα
μείζων ἀρχή· τῶν δὲ ἡμετέρων ἀμελήσας κελεύσεων, καί τινας τῶν δυνατῶν ἀλλ' οὐ τὸν

Universidad Carlos III de Madrid. Biblioteca

νόμον καὶ ἡμᾶς παραπέμπων, θάτερόν τε ἐκπεσεῖται τῶν δοθέντων, καὶ τὸ λοιπὸν ἐν κατεγνωσμένοις ἔσται, τῆς ἡμετέρας φανεὶς ἀνάξιος κρίσεως. Μοιχείας δὲ καὶ παρθένων ἁρπαγὰς καὶ πλεονεξίας καὶ ἀνδροφονίας, καὶ εἴ τι τῶν τοιούτων ἐστὶ πλημμελημάτων, οὕτω κολαζέτω πικρῶς, ὡς ὀλίγων ἀνθρώπων τιμωρίᾳ τὸ λοιπὸν ἅπαν διηνεκῶς σωφρονίσαι. καὶ ἔστω μετὰ τοῦ νόμου σωφρονιστὴς ἀκριβὴς τῶν ἁμαρτανόντων. οὐ γὰρ ἀπανθρωπία τοῦτο, μεγίστη δὲ δὴ μᾶλλον φιλανθρωπία, ὃ τῇ τῶν ὀλίγων ἐπιστροφῇ πολὺ τὸ σωζόμενον ἐστί. εἰ δὲ ἀνάσχοιτό τινος ἐπὶ τοιούτοις ἐγκαλουμένου, ὃς αὐτῷ ζώνην, ἢ ἀξίαν, ἢ ἱερωσύνην, ἤ τι τοιοῦτο προβαλλόμενος, ἤλπισεν ἑαυτὸν ἐξαρπάζειν τῶν ἐκείνου χειρῶν, ἴστω τῆς ἡμετέρας οὐκ ἄξιος φανησόμενος γνώμης. οὐδεμίαν γὰρ οὔτε ἰδίαν οἰκείαν, οὔτε τὴν ἑτέρωθεν προστασίαν οὐδεὶς προϊσχόμενος ἐπὶ τοιούτοις ἐγκλήμασι, διαφεύξεται τὸν νόμον. ἀλλὰ καὶ εἴ τις ἐμβάλλειν ἑαυτὸν τοιαύταις θαρρήσειε προστασίαις, καὶ αὐτὸς ὁμοίαν ὑφέξει τῷ πλημμελήσαντι τὴν ποινήν. Ταυτὸν ὂν ἁμαρτεῖν τε αὐτὸν, καὶ τὸν ἁμαρτόντα καὶ πλημμελήσαντα τηλικαῦτα πειρᾶσθαι ἐξαρπάσαι τῶν τοῦ νόμου χειρῶν. Ὑποτεθήσεται δὲ τῷ νόμῳ καὶ ὑπογραφή, δηλοῦσα τί μὲν αὐτὸν ἐκ τοῦ δημοσίου λαμβάνειν καὶ τοὺς περὶ αὐτὸν προσήκει, τί δὲ προφάσει διδόναι τῶν συμβόλων, τί δὲ εἰσφέρειν τῷ εὐσεβεῖ οἴκῳ τῆς θειοτάτης αὐγούστης τῆς ἡμετέρας συμβίου· δηλαδὴ τριμερῶς τῶν quinquaginta librarum auri εἰσκομιζομένων, τοῦτο δὴ τὸ καὶ ἄνωθεν καὶ μέχρι νῦν κεκρατηκός. Καὶ καθαρῶς τοῖς ἡμετέροις ὑπηκόοις (τοῦτο γὰρ πολλάκις εἰρήκαμεν) χρήσεται, πρᾶγμα διεσπουδασμένον ἡμῖν, καὶ χρημάτων ἀμελῆσαι παρασκευάσαν μεγάλων, καίτοιγε ἐν τοσαύταις δαπάναις καὶ πολέμοις μεγάλοις, δι' ὧν δέδωκεν ἡμῖν ὁ θεὸς πρὸς Πέρσας τε ἄγειν εἰρήνην, καὶ Βανδίλους τε καὶ Ἀλανοὺς καὶ Μαυρουσίους χειρώσασθαι, καὶ Ἀφρικὴν ὅλην καὶ πρός γε καὶ Σικελίαν κατακτήσασθαι· καὶ ἐλπίδας ἔχειν ἀγαθὰς ὅτι καὶ τῶν λοιπῶν ἡμῖν τὴν ἐπικράτειαν νεύσειεν ὁ θεός, ὧνπερ οἱ πάλαι Ῥωμαῖοι μέχρι τῶν πρὸς ἑκάτερον Ὠκεανὸν ὁρίων κρατήσαντες, ταῖς ἐφεξῆς ἀπέβαλον ῥαθυμίαις. ἃς ἡμεῖς, τῇ παρὰ θεοῦ συμμαχίᾳ θαρροῦντες, ἐπὶ τὸ κρεῖττον μεταβάλλειν σπεύδομεν· οὐδὲν δὲ ὀκνοῦμεν τῶν εἰς ἐσχάτην δυσχέρειαν ἡκόντων, ἀγρυπνίαις τε καὶ ἀσιτίαις καὶ τοῖς ἄλλοις ἅπασι πόνοις ὑπὲρ τῶν ἡμετέρων ὑπηκόων διηνεκῶς καταχρώμενοι. Ἐντεύξεται δὲ καὶ τοῖς παραγγέλμασιν ἡμῶν, ἅπερ δώσομεν αὐτῷ μετὰ τῶν συμβόλων τῆς ἀρχῆς, καθὰ πρόσθεν εἰρήκαμεν· καὶ εἴπερ κατ' ἐκεῖνα πράξει ἅπαντα, θαυμαστός τε ἔσται, καὶ διὰ πάντων ἄξιος τῆς ἡμετέρας φανήσεται ἀρχῆς τε καὶ κρίσεως. Ταῦτα τοίνυν ἅπαντα τὰ διὰ τοῦδε τοῦ θείου νόμου δηλούμενα ἡ σὴ ὑπεροχὴ γινώσκουσα, ταῖς τε εἰρημέναις σιτήσεσι τῷ τῆς ἀρχῆς ταύτης διδότω θρόνῳ, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην, ὡς πολλοῖς εἰκότως ἔσεσθαι περισπούδαστον, τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν αἴδοις τε καὶ ἀξιώματος ἐπιθυμίᾳ.

## Περὶ διατυπώσεως τῶν τεσσάρων ἀρχόντων Ἀρμενίας. Διάτ. λα.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΤΑ μάτην κείμενα καὶ ἐκκεχυμένως, εἰ πρὸς τὴν προσήκουσαν ἀφίκοιτο τάξιν καὶ διατεθείη καλῶς, ἕτερά τε ἀνθ' ἑτέρων τὰ πράγματα φανοῖτο, κάλλιω τε ἐκ χειρόνων, ἐξ ἀκόσμων τε κεκοσμημένα, διηρθρωμένα τε καὶ διακεκριμένα ἐκ τῶν ἔμπροσθεν ἀτάκτων τε καὶ συγκεχυμένων. Τοῦτο καὶ ἐπὶ τῆς Ἀρμενίων



Universidad Carlos III de Madrid. Biblioteca

χώρας ἁμαρτανομένων εὑρόντες, ᾠήθημεν χρῆναι πρὸς μίαν ἁρμονίαν τάξαι αὐτὴν καὶ ἐκ τῆς ἀταξίας ἐξελεῖν τε αὐτῇ δοῦναι τὴν προσήκουσαν, τάξιν τε ἐπιθεῖναι τὴν πρέπουσαν. Τοιγαροῦν τέσσαρας εἶναι πεποιήκαμεν Ἀρμενίας· τὴν μὲν, ἐνδοτάτην, ἧς ἡ μητρόπολις τῇ τῆς εὐσεβοῦς ἡμῶν προσηγορείας ἐπωνυμίᾳ κατακεκόσμηται, πρότερον Βαζανὶς, ἤτοι Λεοντόπολις, καλουμένη· ἣν ὑπὸ καὶ ἀνθυπατείᾳ τετιμήκαμεν, ἧς Ἀκάκιος προέστηκεν ὁ μεγαλοπρεπέστατος. ἀπεκταβιλίαν τε ἀποφήναντες τὴν ἀρχὴν, καὶ πάντα δόντες αὐτῇ ὁπόσα προσῆκόν ἐστιν ἀνθυπατείαν ἔχειν. στολῇ τε γὰρ αὐτὴν ἐπεκοσμήσαμεν ἀνθυπάτου, καὶ πάντα ἀκόλουθα τούτοις ἔχειν διετυπώσαμεν· καὶ πόλεις αὐτῇ δεδώκαμεν, Θεοδοσιούπολίν τε, ἣν καὶ πρότερον εἶχε, Σάταλά τε καὶ Νικόπολιν, καὶ Κολώνειαν, ἐκ τῆς πρώην πρώτης Ἀρμενίας καλουμένης λαβόντες· Τραπεζοῦντά τε καὶ Κερασοῦντα ἐκ Πόντου τοῦ πρώην Πολεμωνιακοῦ καλουμένου· χωρίσαντες αὐτῶν τὰς μὲν τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος, τὰς δὲ τοῦ περιβλέπτου μοδεράτωρος· ἑπτά τε πόλεσι τὴν ὅλην ἐπαρχίαν περιστήσαντες, καὶ ὁπόσα τῆς περιοικίδος ἐστὶν αὐτῶν. Δευτέραν δὲ ἐτάξαμεν Ἀρμενίαν τὴν ἔμπροσθεν πρώτην καλουμένην, ἧς ἡγεῖται Σεβάστεια πόλις, αὐτῇ προσνείμαντες τήν τε τῶν Σεβαστοπολιτῶν, ἣν καὶ πρότερον εἶχε, καὶ πρός γε Κώμανά τε ἐκ τοῦ καλουμένου πρώην Πολεμωνιακοῦ Πόντου, καὶ Ζῆλαν ἐκ τοῦ Ἑλενοπόντου, καὶ μὴν καὶ Βήρισαν· ὥστε ἐν πέντε πόλεσιν εἶναι τὴν ἐπαρχίαν ταύτην. καὶ τὴν ἀρχὴν, ἡγεμονίαν οὖσαν, καταλιπόντες ἐπὶ τοῦ προτέρου σχήματος, καὶ τὸν ἄρχοντα αὐτῆς οὐδενὶ κοσμήσαντες ὀνόματι μείζονι, ἀλλ' ὃ πρότερον εἶχε, τοῦτο αὐτῷ καταλιπόντες. Ἐπὶ τούτοις τε τρίτην Ἀρμενίαν κατεστησάμεθα τὴν πρότερον δευτέραν· ἧς ἡγεῖται Μελιτηνὴ, πόλις ἀρχαία, πόλις ἐπίσημος, ἐν καλῷ τε γῆς καὶ ἀέρος κειμένη, καὶ οὐδὲ πόρρω διεστῶσα τῶν τοῦ Εὐφράτου ῥευμάτων. ταύτην ᾠήθημεν δεῖν κατὰ τὸ παρὸν αὐξῆσαι, καὶ εἰς τὸ τῶν ἀπεκταβιλίων μεταστῆσαι σχῆμα, τόν τε ἄρχοντα ταύτης Ἰουστινιανὸν ὀνομάσαι κόμητα· δοῦναί τε αὐτῷ καὶ ὑπὲρ σιτήσεων solidos septingentos, καὶ τῷ γε αὐτοῦ παρέδρῳ solidos septuagintaduos, καὶ τῇ γε αὐτοῦ τάξει solidos sexaginta. ἅπαντά τε ἔχειν ὁπόσα τῶν τοιούτων ἐστὶν ἴδια θρόνων. τούς τε πρώην ὀνομαζομένους ταξεώτας πάντα μὲν πράττειν ὁπόσα καὶ ἔμπροσθεν, καὶ μάλιστα περὶ τὴν δημοσίαν εἴσπραξιν ἠσχολῆσθαι· εἰς δὲ τὴν τῶν κομητιανῶν προσηγορείαν μεταβαλεῖν, πάντων αὖθις οὕτω φυλαττομένων, ὡς ἡνίκα ταξεῶται καθεστήκεσαν. πόλεις δὲ ὑπεκλίναμεν αὐτῇ, τοῦτο μὲν Ἀρκὰν καὶ Ἀραβισσὸν, τοῦτο δὲ Ἀριαραθίαν, καὶ Κώμαναν ἑτέραν (καλοῦσι δὲ αὐτὴν καὶ Χρυσῆν) καὶ Κουκουσὸν, ἃς καὶ πρότερον εἶχεν, ἐν ἓξ πόλεσι συνεστῶσα. Συνεστησάμεθα δὲ καὶ τετάρτην Ἀρμενίαν, ἣ πρότερον οὐκ εἰς ἐπαρχίας συνέκειτο σχῆμα, ἀλλὰ τῶν τε ἐθνῶν ἦν, καὶ ἐκ διαφόρων συνείλεκτο βαρβαρικῶν ὀνομάτων, Τζοφανηνή τε, καὶ Ἀνζητηνὴ, ἡ Τζοφανὴ, καὶ Ἀσθιανηνὴ, ἡ καὶ Βαλαβιτηνὴ καλουμένη, καὶ ὑπὸ σατράπαις οὖσα. ἀρχῆς δὲ ὄνομα τοῦτο ἦν οὐδὲ Ῥωμαϊκὸν, οὐδὲ τῶν ἡμετέρων προγόνων, ἀλλ' ἐξ ἑτέρας πολιτείας εἰσενηνεγμένον. κἀκείνην τοίνυν ἀρχῆς πολιτικῆς ἐκοσμήσαμεν σχήματι, ἄρχοντά τε πολιτικὸν ἐγκαταστήσαντες, καὶ πόλιν τε αὐτῇ τὴν Μαρτυροπολιτῶν, καὶ τὸ Κιθαρίζον δόντες φρούριον. καὶ αὐτὴ δὲ ἐν τῷ τῶν ὀρδιναρίων ἀρχῶν κατέστη σχήματι, κονσουλαρία παρ' ἡμῶν γινομένη. ὥστε τεσσάρων Ἀρμενιῶν οὐσῶν δύο μὲν εἶναι ἀπεκταβιλίας, τήν τε τοῦ ἀνθυπάτου, τὴν

Universidad Carlos III de Madrid. Biblioteca

τε τοῦ κόμητος· καὶ ἀνθύπατον μὲν εἶναι τὸν τῆς πρώτης ἡγούμενον Ἀρμενίας, κόμητα δὲ τὸν τῆς τρίτης, τὸν δὲ τῆς δευτέρας καὶ τετάρτης, ὀρδιναρίους καθεστάναι. καὶ ἐπειδήπερ τοῦτο ἡμῖν διεσπούδασται, ὥστε τὰς ἄχρι τῶν πεντακοσίων νομισμάτων ἐκκλήτους οὐχὶ πρὸς ταύτην φέρεσθαι τὴν εὐδαίμονα πόλιν, ἀλλ' ἐπὶ τοὺς συνέγγυς σπεκταβιλίους ἄρχοντας· καὶ τοῦτο διατυποῦμεν, ὥστε τῷ μὲν ἄρχοντι τῆς πρώτης Ἀρμενίας, τουτέστι τῷ ἀνθυπάτῳ, τὰς ἐκ τῆς δευτέρας Ἀρμενίας ἐκκλήτους φέρεσθαι, τουτέστι τὰς κατὰ Σεβάστειαν· τῷ δὲ τῆς τρίτης Ἀρμενίας κόμητι, τὰς κατὰ Μελιτηνῶν φαμὲν, τὰς ἐκ τῆς τετάρτης Ἀρμενίας ἐκκλήτους μέχρι τοῦ ῥηθέντος διήκειν ποσοῦ. Τούτων τοίνυν οὕτως ἡμῖν διατεταγμένων, κἀκεῖνο προσδιωρίσαι δίκαιον ἔτι νομίζομεν, ἐφ' ᾧ προστῆσαι τῆς τρίτης Ἀρμενίας ἄνδρα σεμνὸν, ὑπουργηκότα τε ἡμῖν ἤδη, καὶ ἄξιον τοῦ τῆς ἀρχῆς ὄγκου καὶ προσχήματος. εὑρόντες τοίνυν Θωμᾶν τὸν μεγαλοπρεπέστατον, ἤδη μὲν ἀρχὰς ἐπὶ τῶν Ἀρμενίων ἀνύσαντα χώρας, καὶ τἄλλα δὲ ἄνδρα χρηστὸν, καὶ γνησίως ἡμῖν ὑπηρετησάμενόν τε καὶ ὑπηρετούμενον, αὐτὸν ἐπὶ τῇ τῆς ἀρχῆς ταύτης προβαλλόμεθα διοικήσει· ὥστε τέως μὲν τῆς ἐπαρχίας ταύτης ἡγεῖσθαι, κατὰ τὸ ῥηθὲν ἡμῖν σχῆμα, προνοεῖν δὲ καὶ τῶν ἄλλων ὁπόσα ἂν αὐτῷ ἢ διὰ θείων ἐπιτρέψομεν cōmonitoriων, εἴτε ἐπὶ τῆς ἐπαρχίας ἣν αὐτῷ παραδεδώκαμεν, εἴτε καὶ ἐπ' ἄλλαις. ὅπερ καὶ πεπράχαμεν, θεῖα πρὸς αὐτὸν πεποιημένοι commonitoria περὶ πολλῶν καὶ διαφόρων πράξεων· ἅπερ αὐτὸν καὶ εἰς ἑτέρας χώρας προσῆκον ἐστὶν εἰς ἔργον ἀγαγεῖν. Τὰ μέντοι περὶ τὰς ἱερωσύνας, καθὰ πολλάκις εἰρήκαμεν, μένειν κατὰ τὸ πρότερον βουλόμεθα σχῆμα, οὐδὲν οὐδὲ περὶ τὸ μητροπολιτικὸν δίκαιον, οὐδὲ περὶ τὰς χειροτονίας τοῦ πράγματος ἀμειβομένου ἢ καινιζομένου, ἀλλὰ τῶν πρότερον χειροτονούντων, καὶ νῦν ἐχόντων τὴν τῆς χειροτονίας ἐξουσίαν, καὶ τῶν προτέρων μητροπολιτῶν ἐπὶ τῆς ἑαυτῶν μενόντων τάξεως· ὥστε μηδὲν τό γε ἐπ' αὐταῖς καινισθῆναι. Ἐκεῖνο μέντοι τῶν ὡμολογημένων ἐστὶν, ὡς, ἐπειδήπερ τὸν τῆς τρίτης Ἀρμενίας κόμητα, οὐ πολιτικὸν μόνον, ἀλλὰ καὶ στρατιωτικὸν πεποιήκαμεν ἄρχοντα, ἀναγκαίως ἔχει καὶ τοὺς στρατιώτας αὐτῷ τοὺς κατ' αὐτὴν ἱδρυμένους ὑποκεῖσθαι· ἄδειαν ἔχοντι (καθὰ τοῖς στρατιωτικοῖς ἄρχουσιν ἔφεσται) καὶ πρὸς ὄνομα καλεῖν αὐτοὺς, καὶ ἐπιζητεῖν, καὶ προνοεῖν τῶν σιτήσεων αὐτῶν, καὶ ἐπεξιέναι τοῖς κατ' αὐτοὺς, εἴπερ ἀδικοῖεν· καὶ μήτε συγχωρεῖν τοῖς στρατιώταις ἀδικεῖν τοὺς ὑπηκόους. εἰ δέ τι πράξαιεν σφοδρότερον, καὶ ἐγκληματικῶν ἀκροᾶσθαι δικῶν, κἂν εἰ στρατιῶται καθεστήκοιεν· καὶ ἅπαντα πράττειν ὁπόσα τοῖς στρατιωτικοῖς δεδώκαμεν ἄρχουσιν. καὶ ὥσπερ τῷ τε Ἰσαυρίας κόμητι, τῷ τε τῆς Πακατιανῆς Φρυγίας, καὶ πρός γε τοῖς πραίτωρσι Λυκαονίας τε καὶ Πισιδίας καὶ Θράκης, καὶ τὸ στρατιωτικὸν ὑπεκλίναμεν· οὕτω καὶ αὐτῷ μὴ μόνην εἶναι τὴν τῶν πολιτικῶν πραγμάτων τάξιν, ἀλλὰ καὶ τὴν τῶν στρατιωτικῶν ἐξουσίαν τε καὶ ἀρχήν. καὶ εἶναι σεμνὸν αὐτὸν στρατιώταις τε καὶ ἰδιώταις, κελεύοντα καὶ πάντα πράττοντα, ὡς μιᾶς δὴ τῆς ἀρχῆς καθεστώσης. καὶ μίαν τίθεσθαι πρόνοιαν τοῦ μηδὲν ἔγκλημα κατὰ τὴν ἐπαρχίαν ἁμαρτάνεσθαι, ἀλλὰ καὶ σωφρονισμοῖς ὑποβάλλεσθαι τοῖς προσήκουσι. ταύτης γὰρ δὴ τῆς ἐξουσίας οὐκ ἀφαιρούμεθα παντελῶς αὐτὸν ἐπ' οὐδενὶ προσώπῳ τῶν κατὰ τὴν ἐπαρχίαν ὄντων, εἴτε ἰδιωτικῷ, εἴτε στρατιωτικῷ, εἴτε ταμειακῷ. μίαν γὰρ καὶ συνεχῆ τὴν εἰρήνην ἐν ἅπασι τοῖς ὑπηκόοις τοῖς ἡμετέροις φυλάττεσθαι βουλόμεθα, οὐ τῇ διαφορᾷ τῶν προσώπων τὴν κατὰ τῶν νόμων εἰσάγοντες καταφρόνησιν. Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ κατὰ τὴν τῶν τεσσάρων Ἀρμενιῶν διατύπωσιν, καὶ μάλιστα κατὰ τὴν τῆς τρίτης



Universidad Carlos III de Madrid. Biblioteca

ἧς κατὰ πρόφασιν τὸν παρόντα θεῖον ἐποιησάμεθα νόμον) νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον φυλάττεσθαι σπευσάτω· πάντων προστιθεμένων καὶ ἐγγραφομένων ταῖς μερικαῖς διατυπώσεσι τῶν ὁμοθεσίων τῶν σῶν, ὁπόσα δίδοσθαι καθ᾽ ἕκαστον ἔτος προσετάξαμεν. DAT. XV. K. APRIL. CONSTANTINOP. POST BILIS. V. C. CONS.

## Περὶ τοῦ, μηδένα δανείζοντα γεωργῷ, κρατεῖν τῆς ἐκείνου γῆς. καὶ πόσον ὀφείλουσι λαμβάνειν τόκον ἀπὸ τῶν γεωργῶν. Διάταξ. λβ.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥγουστος Ἀγερωχίῳ τῷ λαμπροτάτῳ ἄρχοντι Αἱμιμόντου τῆς Θρᾴκης.

ΠΡΑΓΜΑ δεινόν, καὶ πάσης ἐπέκεινα καὶ ἀσεβείας καὶ πλεονεξίας γινόμενον συνειδόμεν νόμῳ θεραπεῦσαι κοινῷ, οὐκ ἐπὶ τῆς παρούσης μόνον ἀνάγκης, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον πολιτεύεσθαι δυναμένῳ. ἔγνωμεν γὰρ ὥς τινες ἐπὶ τῆς ἐπαρχίας ἧς ἄρχεις, ἐτόλμησαν, ἐπιλαβόμενοι τοῦ καιροῦ τῆς ἀφορίας τοῦ σίτου, δάνεισμα πρᾶξαι πρός τινας ἐπ᾽ ἐλαχίστῳ μέτρῳ τῶν καρπῶν, καὶ τὴν αὐτῶν λαβεῖν γῆν ἅπασαν ἀντ᾽ αὐτοῦ· ὥστε τοὺς μὲν τῶν γεωργῶν φεύγειν, τοὺς δὲ διαφθαρῆναι λιμῷ, δεινήν τε γενέσθαι φθοράν, οὐδὲν τῆς βαρβαρικῆς ἐπιδρομῆς ἐλάττονα. Θεσπίζομεν τοίνυν, ἅπαντας τοὺς δανείσαντας ὁσονδήποτε μέτρον τῶν οἱωνδήποτε ξηρῶν καρπῶν, τοῦτο ἀπολαμβάνοντας νῦν χωρὶς τῆς οἱασοῦν προσθήκης, ἀποδοῦναι τὰ γήδια τοῖς γεωργοῖς. μηδενὸς παντελῶς θαρροῦντος γῆν κατέχειν, προφάσει τῶν εἰρημένων δανεισμάτων, εἴτε ἔγγραφα, εἴτε ἄγραφα εἴη· κομιζομένοις δέ, εἰ μὲν οἱ δανεισθέντες εἶεν καρποί, ὀγδόην τοῦ μοδίου μοῖραν ἐφ᾽ ἑκάστῳ μοδίῳ εἰς ἐνιαυτὸν ὅλον· εἰ δὲ νομίσματα τὰ δανεισθέντα εἴη, ἐφ᾽ ἑκάστῳ νομίσματι ἐνιαύσιον κεράτιον ἕν, προφάσει τόκου. τοῦ λοιποῦ δὲ τοὺς δανειστὰς ἀρκουμένους ὀγδόῃ μοδίου μοίρᾳ ἐφ᾽ ἑκάστῳ μοδίῳ εἰς ἐνιαυτὸν ἕνα (ἢ ἐφ᾽ ὅσον μένει τὸ δάνεισμα, κατὰ τὴν ἀναλογίαν ταύτην) ἢ τῷ κερατίῳ, ἀποδιδόναι πάντως, εἴτε γῆν, εἴτε ἄλλο τι λαβόντες τύχοιεν ἐνέχυρον· βόας τυχόν, ἢ πρόβατα, ἢ ἀνδράποδα. καὶ τοῦτον εἶναι τὸν νόμον κοινὸν ἅπασι, φιλάνθρωπόν τε ἅμα καὶ εὐσεβῆ, καὶ τήν τε χρείαν θεραπεύοντα τοῖς δεομένοις, τοῖς τε δανεισταῖς φέροντα μετρίαν παραψυχήν. Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ λαμπρότης ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. εἰδότος τοῦ δανειστοῦ ὡς εἰ παρὰ ταῦτά τι πρᾶξαι θαρρήσειε, τῆς εἰσπράξεως ἐκπεσεῖται· καὶ ὁ λαβών, εἶτα ἀδικούμενος, ἕξει παραψυχὴν τὸ αὐτὸς μὲν ἀπηλλάχθαι πραγμάτων, τὸν δανειστὴν δὲ ἰδεῖν ἐπὶ τοῖς ἑαυτοῦ ζημιούμενον. DAT. XV. K. IVL. CONSTANTINOP. BILIS. V. C. CONS.

## Περὶ τοῦ, μηδένα δανείζοντα γεωργῷ, κρατεῖν τῆς ἐκείνου γῆς, εἴτε στρατιώτην, εἴτε ὁντιναοῦν δήποτε ἰδιώτην. Διάταξις λγ.

Οὗτος αὐτὸς ... λγ ... ἑξῆς ... [illegible] ... Βρέβιον ... Σκριμ... [illegible] λανθάνει.

* * * * * * * * * * *

## Περὶ βουλευτῶν, ὥστε ἐννασούγκιον καταλιμπάνειν τοῖς ἑαυτῶν

βουλευταῖς παισί. Διάταξις λη.

## Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

Οἱ τὴν πολιτείαν ἡμῖν πάλαι καταστησάμενοι ᾠήθησαν χρῆναι, κατὰ τὴν τῆς βασιλευούσης πόλεως μίμησιν, ἀθροῖσαι καθ' ἑκάστην πόλιν τοὺς εὖ γεγονότας, καὶ ἑκάστῃ σύγκλητον δοῦναι βουλήν, δι' ἧς ἔμελλε τά τε δημόσια πράττεσθαι, ἅπαντά τε γίνεσθαι κατὰ τάξιν τὴν προσήκουσαν. οὕτω τοίνυν τὸ πρᾶγμα ηὐξήθη, οὕτως ἔφάνη λαμπρόν, ὡς τὰς μεγίστας τε καὶ πολυανθρωποτάτας οἰκίας βουλευτῶν εἶναι, πλήθους μὲν ὄντος τοῦ βουλεύοντος, τῆς δὲ δοκούσης εἶναι τῶν λειτουργημάτων βαρύτητος οὐδενὶ παντελῶς ἀφορήτου καθισταμένης. τὸ γὰρ εἰς πλῆθος διαιρεῖσθαι τὸ βάρος, ἀνεπαίσθητον σχεδὸν τοῖς τοῦτο ὑπομένουσιν ἦν. Ἐπεὶ δὲ κατὰ μέρος ἤρξαντό τινες ἑαυτοὺς ἐξαιρεῖν τῶν βουλευτικῶν λειτουργημάτων, καὶ ἐξευρίσκειν προφάσεις δι' ὧν πως ἐλεύθεροι τούτων ἔσονται· εἶτα κατ' ὀλίγον ἠλαττώθη τὰ βουλευτήρια, μυρίων ἐπινοηθεισῶν προφάσεων, ἐξ ὧν ἔμελλε τὰ μὲν ἴδια καλῶς ἕξειν, τὰ δὲ κοινὰ καὶ δημόσια διὰ πάντων ἐλαττοῦσθαι. διὰ τοῦτο εἰς ἄνδρας ὀλίγους περιέστησαν τὰ λειτουργήματα, κἀκείνοις τὰς οὐσίας κατέστρεψε, καὶ τὰς πόλεις οὕτως ἠλάττωσεν, ὥστε ὑπὸ τούτοις εἶναι τοὺς ὀλεθρίους μισθωτάς, οὓς δὴ βίνδικας καλοῦσι. συμβέβηκεν οὖν τὸ πολίτευμα μεστὸν μὲν ἐλλειμμάτων, μεστὸν δὲ πάσης ἀδικίας γενέσθαι. Ταῦτα ἡμεῖς πολλάκις ἀνερευνώμενοι, ᾠήθημεν χρῆναι θεραπείαν ἐπαγαγεῖν τῷ πράγματι· καὶ ὅσῳ περὶ τοῦτο ἡμεῖς πονοῦμεν, τοσούτῳ πᾶσαν ἐξεῦρον οἱ βουλευταὶ τέχνην κατὰ τῶν ὀρθῶς καὶ δικαίως νενομοθετημένων, καὶ κατὰ τοῦ δημοσίου. ἐπειδὴ γὰρ εἶδον ἀναγκαζομένους ἑαυτοὺς πᾶσι τρόποις τῇ βουλῇ φυλάττειν τὸ τέταρτον, καὶ τοῦτο μόλις ἐν τοῖς πρὸ ἡμῶν νόμοις ἀποτεθέν, ἤρξαντο διασπᾶν τὰς οὐσίας αὐτῶν, ὥστε ἀπόρους τελευτᾶν, καὶ οὐχὶ τέταρτον μέρος, ἀλλ' ὅλην ἐφεξῆς τὴν ἀπορίαν τῇ βουλῇ καταλιμπάνειν. εἶτα ἐπειδὴ καὶ τῶν σωμάτων αὐτῶν ἀποστερῆσαι τὸ βουλευτήριον ἔγνωσαν, ἤδη καὶ πρᾶγμα πάντων ἀσεβέστατον ἐπενόησαν, γάμων ἀπεχόμενοι νομίμων· ὥστε αἱρεῖσθαι μᾶλλον ἄπαιδες, τό γε ἐπὶ τῷ νόμῳ, τελευτᾶν, ἢ καὶ τῷ γένει καὶ τῇ βουλῇ χρήσιμοι φαίνεσθαι. Καὶ αὖθις κατεπράξαντο πρώην τεθῆναι νόμον, ὃς δεκρέτου χωρὶς ἐπέτρεπεν αὐτοῖς τὰ οἰκεῖα διαρρεῖσθαι, καίτοιγε τὴν πρᾶσιν μετὰ δεκρέτου γίνεσθαι τοῦ νόμου βουλομένου. ὁ δὲ οὕτως ἦν θαυμαστὸς ὥστε μόνην τὴν πρᾶσιν ὑπάγειν τῇ τοῦ δεκρέτου προσθήκῃ, καὶ ταῖς ἐντεῦθεν ἀνάγκαις, τἄλλα δὲ πάντα αὐτοῖς ἐφιέναι πράττειν καθ' ὃν ἠβούλοντο τρόπον. ταύτῃ οὖν μετεστήσαμεν τὰς βουλευτικὰς οὐσίας εἰς ἕτερα καὶ ἕτερα πρόσωπα, οὐδὲν τῆς βουλῆς ἐντεῦθεν ἐχούσης. τοιγαροῦν εἴ τις ἀριθμήσεται τὰ τῆς ἡμετέρας πολιτείας βουλευτήρια, ἐλάχιστα εὑρήσει, τὰ μὲν οὐδὲ ἀνδρῶν εὐποροῦντα, οὐδὲ χρημάτων, τὰ δὲ ὀλίγων μὲν ἴσως ἀνθρώπων, χρημάτων δὲ οὐδαμῶς. Ἤδη μὲν οὖν κατὰ μέρος ἐθήκαμεν νόμους ἡμεῖς τοὺς βουλομένους καὶ τὰς πράσεις καὶ τὰς δωρεὰς τὰς ἁπλᾶς καὶ πᾶσαν πρᾶξιν ἐκποίησιν ἔχουσαν βουλευτικῶν ἀκινήτων πραγμάτων, ὑποκεῖσθαι δεκρέτῳ, μετὰ τῆς ἐν ἐκείνῳ τῷ νόμῳ κειμένης παρατηρήσεως γινομένῳ. Εἶτα ὕστερον ἐπειδὴ μετὰ ψευδῶν αἰτιῶν ἐποιοῦντο τὰς δωρεάς, καὶ αὐτὸ καθάπαξ ἀνείλομεν τὸ δωρεὰν ἁπλῆν ποιεῖσθαι βουλευτὴν εἰς οἱονδήποτε πρόσωπον. ἐξείλομεν δὲ εἰκότως τὰς προγαμιαίας δωρεάς, ἐπειδὴ μηδὲ δωρεαὶ καθάπαξ εἰσίν, ἀλλὰ συναλλάγματός τε εἶδος



Universidad Carlos III de Madrid. Biblioteca

ἐν ταύταις ἔγκειται, καὶ παιδοποιίας εἰσάγουσιν εὐπορίαν· ὅπερ ἡμῖν τὸ μάλιστα εἰς βουλευτὰς περισπούδαστόν ἐστιν. ἔπειτα ὁρῶντες τὸ περὶ αὐτὸ οὐχ περιγραφὰς πολλὰς γινομένας, νόμον ἐγράψαμεν ὥστε ἐκ τρόπου παντὸς χρῆναι τῶν βουλευτῶν, εἴτε μετὰ σώματος, εἴτε τούτου χωρὶς, πάντως τὸ τετρούγκιον ἔχειν· καὶ μὴ ἔλαττον ἐξεῖναι τινὶ καταλιμπάνειν τῇ βουλῇ, μηδὲ τεχνάζειν, μηδὲ ἐλαττοῦν αὐτὸ κατὰ μηδένα τρόπον. εἴτε παῖς ὁ βουλεύσας εἴη, εἴτε καὶ αὐτὴ δέχοιτο τὸ τετρούγκιον ἡ βουλή. Καὶ οὐδὲ μέχρι τούτων ἔστημεν, ἀλλὰ καὶ ταῖς θηλείαις τῆς οἰκείας ἐνστάσεως διδόναι τινὰ μοῖραν ἐθεσπίσαμεν, ὥστε κατὰ μηδεμίαν πρόφασιν ἐλαττοῦσθαι τῇ βουλῇ (καθάπερ εἰπόντες ἔφθημεν) τὸ τεταρτημόριον τῆς πάσης τοῦ βουλεύσαντος οὐσίας. καὶ τὰς πολλὰς δὲ ταύτας καὶ ἐκκεχυμένας φιλοτιμίας ἀνείλομεν, οὐ συγχωροῦντες ἀπαλλάττεσθαι βουλῆς ἄλλως ἢ κατὰ τὴν τῶν μεγίστων ἀξιωμάτων κτῆσιν, πατρικιότητός τε καὶ ὑπατείας καὶ ἐπαρχότητος, εἴτε τῆς ἐν πολιτικοῖς, εἴτε τῆς ἐν στρατιωτικοῖς. πραεφεκτωρείας γὰρ εἶναι καὶ τὰς στρατηγίας ὁ νόμος ἐπίσταται. ὥστε εἴ τις πραεφεκτωρείαν ἀρχὴν ἄρξειεν, αὐτῇ τῇ πράξει γινόμενος, καὶ εἴτε ἄρχων αὐτὴν, εἴτε στρατηγῶν, βουλευτικῆς οὗτος ἀπαλλάττεται τύχης, κατὰ τὸν ἡμέτερον νόμον, τῶν ἄλλων πασῶν ἐξαιρέσεων ἀφῃρημένων. τὰς γὰρ διὰ μόνην τιμὴν διδομένας τοιαύτας ἀξίας (τὰς πραεφεκτωρείας φαμέν· ταὐτὸ δέ ἐστιν εἰπεῖν καὶ στρατηλασίας) οὐκ ἐξαιρεῖν τοῦ βουλευτικοῦ λευκώματος τοὺς τούτων τυχόντας ἐθεσπίσαμεν. Ταῦτα μὲν οὖν ἐν τοῖς ἔμπροσθεν ἡμῖν νενομοθέτηται, μετὰ πολλῶν ἄλλων, ἅπερ ἔξεστιν ἐξ αὐτῶν τῶν ἤδη κειμένων νόμων λαβεῖν. ἀπελύσαμεν δὲ καί τινας βουλευτικῆς τύχης, διαφόροις αὖθις πραγματικοῖς φιλοτιμησάμενοι νόμοις, οὓς ἅπαντας κυρίους εἶναι βουλόμεθα· καὶ τὴν παροῦσαν νομοθεσίαν ἀπὸ τῆς ἑνδεκάτης ἐπινεμήσεως τῆς ἄρτι διελθούσης ἄρχεσθαι, ἐξ οὗπερ ἡμῖν ἐν βουλῇ γέγονεν οὗτος ὁ νόμος.

Ἐπειδὴ δὲ ὁρῶμεν τινὰς οὕτως ἀπεχθῶς διακειμένους πρὸς τὰς ἑαυτῶν πατρίδας, ὥστε αἱρεῖσθαι μᾶλλον ἄλλοις τὰς ἑαυτῶν καταλιμπάνειν οὐσίας, καὶ μόλις τὸ τέταρτον τῇ βουλῇ, καὶ τοῦτο διὰ τὸν ἡμέτερον νόμον ᾠήθημεν χρῆναι, ἀπαιδίας ὑπούσης, τοῦτο τὸ μέρος αὐξῆσαι. εἰ τοίνυν μετὰ τόνδε ἡμῶν τὸν νόμον τελευτήσῃ βουλευτὴς, παῖδας οὐκ ἔχων οὔτε ἄρρενας οὔτε θηλείας, οὗτος τῆς ἑαυτοῦ περιουσίας τὰς τρεῖς μοίρας καταλιμπανέτω τῇ βουλῇ, καὶ τὴν τετάρτην οἷς βούλεται. ἔσται γὰρ αὐτῷ ἀντὶ παιδὸς ἴσως ἑνὸς ἢ καὶ πλειόνων ἡ πᾶσα βουλὴ (ταὐτὸν δ' ἐστὶν εἰπεῖν) καὶ τὸ τῆς πόλεως πλήρωμα ἐν παίδων τάξει καθεστὼς, καὶ εὐφημία διηνεκὴς καὶ ἀθάνατος μνήμη· καὶ καρπὸς τοσοῦτος ὅσος οὐκ ἂν αὐτῷ παρὰ τῶν παίδων ἐγένετο. Εἰ δέ τις γνησίους μὲν παῖδας οὐκ ἔχει, νόθοι δὲ αὐτῷ καθεστᾶσιν, ἐξέστω μετὰ τὸ τῆς βουλῆς ἄλβοις γράφειν αὐτοὺς καὶ τούτοις κληρονόμοις· καὶ ἡ γραφή γε ἀντὶ πάσης ἐπιδόσεως ἔστω, καὶ μὴ δείσθω τοῦτο τῶν παλαιῶν νόμων ἑτέρας προσθήκης, μηδὲ τῆς ἐν ᾧ προσῆσαν ἐπιδόσεως· ἀλλ' αὐτόθεν γραφέντες, εἴγε ἐλεύθεροι καθεστᾶσι, βουλευταὶ καὶ κληρονόμοι γινέσθωσαν, καὶ ἐχέτωσαν καὶ αὐτοὶ τὸ τῆς περιουσίας ἐνναούγκιον, καθάπερ ἂν ὁ πατὴρ αὐτοῖς διανείμῃ· εἰ δὲ καὶ τὸ πᾶν αὐτοῖς βουληθείη καταλιπεῖν, ἔτι κάλλιον πράξει. πλὴν ἀλλὰ μέχρι τοῦ ἐνναουγκίου καὶ πάντως αὐτοῖς καταλιμπανέτω, γινώσκων ὡς κἂν εἰ καταλίποιεν ἔλαττον, ἀλλ' ἐκ τοῦ νόμου πάντως εἰς τὸ ἐνναούγκιον αὐτοῖς ἡ ἀναπλήρωσις ἔσται τῆς οὐσίας. οἱ δὲ εἴπερ τι τῆς οὐσίας ἐπιθυμοῦσι λαβεῖν, καὶ βουλευταὶ γινέσθωσαν· εἰ δὲ τινὲς μὲν ἕλοιντο, τινὲς δὲ παραιτήσοιντο, ἐπὶ τοὺς αἱρουμένους τὰ τῆς πα-

Universidad Carlos III de Madrid. Biblioteca

ραιτουμένων ἐρχέσθω μέρη. εἰ δὲ ἅπαντες ἀπείποιεν, τηνικαῦτα ὡς ἀπαιδίας οὔσης, οὕτως ἐπὶ τὴν βουλὴν ἐρχέσθω τὸ ἐνναούγκιον. Εἰ δὲ ὁ μὲν σιγήσειε, παίδων δὲ αὐτῷ γνησίων οὐκ εἴη σπορά, τηνικαῦτα τὸ μὲν τέταρτον ἐπὶ τοὺς ἐξ ἀδιαθέτου κληρονόμους ἐρχέσθω, οἱ παῖδες δὲ οἱ νόθοι εἰ βούλονται ἑαυτοὺς ἐπιδοῦναι τῷ βουλευτηρίῳ, προσδεχέσθωσαν, καθάπερ ἂν θελήσειαν, εἴτε πάντες, εἴτε τινὲς ἐξ αὐτῶν, πάντως τοῦ ἐνναουγκίου τῆς περιουσίας εἰς τοὺς βουλεύοντας ἢ τὸν βουλεύοντα περιϊσταμένου. Εἰ δὲ καὶ ἐκ δούλης αὐτῷ τεχθέντες εἶεν, εἶτα αὐτοὺς ἐλευθερώσειεν, ἢ περιὼν ἢ ἐν τῇ διαθήκῃ, καὶ ἐπιδίδῃ τούτους· καὶ οὕτως προσδεχέσθωσαν, καὶ ἔστωσαν βουλευταὶ (καθάπερ ὁ διατιθέμενος ἠβουλήθη, ἢ καθάπερ ἡ αὐτῶν ἐπιθυμία πεποίηκεν, ἐπιδόντων ἑαυτοὺς τῇ βουλῇ) ληψόμενοι, καθάπερ εἴρηται, τὸ ἐνναούγκιον. πανταχοῦ γὰρ βουλόμεθα, κἂν εἰ διαθοῖτο, κἂν εἰ μὴ βουλευσάμενος ἀπέλθοι, τοὺς εἰς τὴν βουλὴν ἐρχομένους τὸ ἐνναούγκιον λαμβάνειν. εἰ δὲ ἐλευθερώσειε μὲν μόνον, οὐ μὴν ἐπιδοίη, καὶ οὗτοι βούλονται, ἢ τις ἢ τινὲς ἐξ αὐτῶν, πρὸς τὸ βουλευτήριον ἰδεῖν· κἀκεῖσε τὸ ἐνναούγκιον τῷ βουλεύοντι ἢ τοῖς βουλεύουσι κατὰ τὴν ἀναλογίαν διδόσθω. εἰ δὲ μηδεὶς τῶν νόθων ἢ βουληθείη ἢ ἐπιδοθείη, τηνικαῦτα τὸ ἐνναούγκιον ἡ βουλὴ λαμβανέτω. Εἰ δὲ γνησίων εἴη παίδων πατήρ, ἐνταῦθα τὸ πρᾶγμα διακριτέον, εἴτε μόνων ἀρρένων, εἴτε μόνων θηλειῶν, εἴτε μεμιγμένης γονῆς· ὥστε τὸν νόμον πανταχόθεν ἔχειν τὸ τέλειον, καὶ τὸ τῇ βουλῇ συμφέρον. Εἰ μὲν οὖν ἄρρενες αὐτῷ μόνοι καθεστήκοιεν παῖδες, ἢ ἔγγονοι τυχὸν ἄρρενες ἐκ προτετελευτηκότων υἱῶν, τὸ ἐνναούγκιον εἰς πάντας, καθάπερ ἂν βουληθείη, μεριζέτω· οὕτω μέντοι ὥστε κατὰ μηδὲν ἐλαττωθῆναι τὸν νόμον τὸν περὶ τῶν ἀκαθηκουσῶν διαλεγόμενον διαθηκῶν· πλὴν εἰ μὴ τρόπος ἀχαριστίας τοῦτο ποιήσειεν. οὐδὲ γὰρ τὰ ἐπὶ τούτοις τεθειμένα νόμιμα παντελῶς ἀναιροῦμεν. ἐκείνου μέντοι πάντως φυλαττομένου, ὥστε τὸ ἐνναούγκιον πρὸς τοὺς μὴ ἀχαρίστους παῖδας μερίζειν, καὶ κατὰ τοσοῦτον ἕκαστον ὑπεισιέναι τὰ βουλευτικὰ τοῦ πατρὸς λειτουργήματα, καθ' ὅσον αὐτοῖς ὁ πατὴρ διένειμε τὴν οὐσίαν, τοῦ τριουγκίου μόνου τῇ τοῦ πατρὸς καταλιμπανομένου γνώμῃ, ἔνθα ἂν αὐτὸ παραχωρῆσαι βούληται, εἴτε πρὸς τοὺς παῖδας, εἴτε πρὸς ἑτέρους. Εἰ δὲ πᾶσαι θήλειαι καθεστήκοιεν, εἰ μὲν αὐτῆς τῆς πόλεως γαμηθεῖεν βουλευταῖς, ἄδεια ἔσται τῷ πατρί, εἴπερ γεγαμημέναι τυγχάνοιεν, ὡς εἴρηται, βουλευταῖς, διαιρεῖν εἰς αὐτὰς τὴν ὅλην οὐσίαν, ἢ πάντως γοῦν τὸ ἐνναούγκιον, καθάπερ ἂν βουληθείη, τῷ νόμῳ κἀνταῦθα προσέχων τῷ τὰ ἐξ ἀδιαθέτου τάττοντι. εἰ δὲ αἱ μὲν ἐξ αὐτῶν γεγάμηνται βουλευταῖς, αἱ δὲ οὐχὶ τοιούτοις, τὸ μὲν ἐνναούγκιον πάντως καταλιμπανέσθω παρὰ τοῦ πατρὸς ταῖς τῶν βουλευτῶν γυναιξί, διαιρούμενον κἀνταῦθα καθάπερ ἂν ὁ πατὴρ βουληθείη· τὸ δὲ λειπόμενον, εἰς τὰς μὴ βουλευταῖς τῆς αὐτοῦ πατρίδος γαμηθείσας, ἢ καὶ εἰς ἑτέρους δηλαδή, τῆς νομίμου μοίρας κἀκείναις πάντως ἀποσωζομένης. εἰ δὲ μήπω γάμων ἔτυχον, τηνικαῦτα ἐπὶ τούτῳ τῷ ὅρῳ γράφειν αὐτὰς ἢ τινὰ ἢ τινὰς ἐξ αὐτῶν εἰς τὸ ἐνναούγκιον κληρονόμους, ἐφ' ᾧ πάντως γαμηθῆναι τῆς αὐτῆς πόλεως βουλευταῖς. ἢ, εἰ μὴ τοῦτο βούλεται αὐτός, ἢ αὐτὸς μὲν γράψειεν, αἱ δὲ οὐκ ἀνάσχοιντο, τὸ μὲν ἐνναούγκιον ἐπὶ τὸ βουλευτήριον τῆς πόλεως ἐρχέσθω, τὸ δὲ τριούγκιον μόνον εἰς τὰς πάσας καθ' ὅνπερ ὁ νόμος βούλεται μεριζέσθω τρόπον, ἐν λόγῳ καὶ τῶν προικῶν αὐταῖς γινομένων. Εἰ δὲ ἄρρενές τε καὶ θήλειαι καθεστήκοιεν, οἱ μὲν ἄρρενες πάντως τὴν ἡμίσειαν ἐχέτωσαν μοῖραν τῆς περιουσίας· αἱ δὲ θήλειαι τὴν λειπομένην ἡμίσειαν, οὐ τελείαν

Universidad Carlos III de Madrid. Biblioteca

μένοι. δώσουσι γὰρ αὗται τὸ τέταρτον τοῖς βουλεύουσιν ἀδελφοῖς, πλὴν εἰ μὴ βουλευτῶν εἶεν γαμεταὶ πᾶσαι, ἢ τινὲς ἐξ αὐτῶν. εἰ γὰρ εἰς τοιούτους ἔλθοιεν γάμους, καὶ βουλευταῖς τῆς οἰκείας πατρίδος ζευχθεῖεν, τηνικαῦτα ἐλευθερωθήσονται τῆς τετάρτης μοίρας, οἷα δοκοῦσαι καὶ αὐταὶ διὰ τῶν ἀνδρῶν, ἕως περίεισι, μετέχειν τοῦ λειτουργήματος. Ταῦτα ἡμεῖς νομοθετῆσαι δεῖν ᾠήθημεν, οὐχ ὥστε ἀφελέσθαι τοὺς ἀνθρώπους τῆς τῶν οἰκείων διοικήσεως, ἀλλ' ὥστε τὰς πόλεις μὴ τελείως ἐξερημωθῆναι βουλῆς, μηδὲ περινοίαις τισὶν ἴσως καὶ ἀσεβέσιν ἐλαττοῦσθαι τὰ βουλευτήρια. τοιγαροῦν ἐμάθομεν τινὰς καὶ ἀπηγορευμένους τῷ νόμῳ συναλλάττειν γάμους, ὥστε ἐντεῦθεν μὴ γνησίους ἀλλὰ νόθους αὐτοῖς τίκτεσθαι παῖδας, κἀκείνοις δῆθεν ὡς ἐξωτικοῖς, καταλιμπάνειν, καὶ οὕτως ἀποστερεῖν τὴν βουλὴν τῆς ὀφειλομένης αὐτῇ περιουσίας. Κἀκεῖνο γε μὴν ἐξ αὐτῆς εὑρόντες τῆς πείρας ὡς κατὰ τῶν βουλευτηρίων γίνεται, καὶ πολλοὶ δῆθεν λέγοντες ἢ ταμειακῆς, ἢ κωμητικῆς, ἢ κογχυλευτικῆς, ἢ ἄλλης καθεστάναι καταστάσεως τὸν ἕτερον τῶν αὐτῶν γονέων, πειρῶνται προσνέμειν ἑαυτοὺς ἢ ταῖς ταμειακαῖς, ἢ ταῖς κωμητικαῖς, ἢ κογχυλευτικαῖς, ἢ ἑτέραις οἱαισδήποτε τύχαις, καὶ τὸ βουλευτήριον ἐκκλίνειν. θεσπίζομεν τοίνυν μηδεμίαν εἶναι τοιαύτην τέχνην κατὰ τοῦ δημοσίου· ἀλλὰ πάντως, εἴτε ἐκ ταμειακῆς μητρὸς, εἴτε ἐκ κογχυλευτικῆς, εἴτε ἐκ κωμητικῆς γεννηθείη παῖς βουλευτῇ, τὴν βουλευτικὴν τύχην κρατεῖν βουλόμεθα. βουλευταὶ μὲν γὰρ ἐλάχιστοι πανταχόσε τῆς ἡμετέρας εἰσὶ πολιτείας, ταμειακοὶ δὲ καὶ κωμῆται καὶ κογχυλευταὶ, εἰς πλῆθος ἐκκεχυμένοι καθεστᾶσι. καὶ προσῆκόν ἐστι μᾶλλον τὰ βουλευτήρια τῶν πόλεων αὔξεσθαι, ἐν ὀλίγοις σώμασι στενοχωρηθέντα, ἢ πλῆθος πλήθει προστεθῆναι. Εἰ δέ τινες, ὀνόματι τῆς οἰκείας μητρὸς, ὡς ταμειακῆς, ἢ κογχυλευτικῆς, ἢ κωμητικῆς τύχης οὔσης, ἑαυτοὺς ἐξελεῖν τῆς βουλευτικῆς ἐπειράθησαν ἢ καὶ πειραθεῖεν τύχης, ἀπὸ τῆς ἄρτι διελθούσης δεκάτης ἐπινεμήσεως καὶ αὐτῆς, τὰ κατὰ τοῦτον πραχθέντα τὸν τρόπον, εἴτε ἐκ τῆς θείας αὐλῆς, εἴτε ἀλλαχόθεν, ἀργὰ καὶ ἀνίσχυρα ἔστω· καὶ τοὺς τοιούτους, βουλευτὰς τὸ λοιπὸν εἶναι θεσπίζομεν. εἰ γάρ τι πέπρακται πρὸ τῆς δεκάτης ἐπινεμήσεως, τοῦτο βεβαίως καὶ ἐπὶ τῆς ἰσχύος τῆς ἑαυτοῦ μένειν βουλόμεθα. Ἐξαιροῦμεν δὲ τῆς παρούσης ἡμῶν θείας διατάξεως Θεοδόσιον, καὶ τοὺς αὐτοῦ ἀδελφοὺς, καὶ τοὺς υἱοὺς Ἰωάννου τοῦ ἐπίκλην Ξίσκων· οἵπερ ἑαυτοὺς εἰς ταμειακὴν (καίτοι βουλευτῶν ὄντες πατέρων) ἐνέγραψαν τύχην, πρὸ τῆς δεκάτης ἐπινεμήσεως· καὶ πᾶν εἴ τι γέγονεν ἐπ' ἐλευθερίᾳ τούτων, ἀναιροῦμεν. οὐδενὸς γὰρ αὐτοὺς ἀπολαύειν τῶν πεπορισμένων βουλόμεθα, ἀλλὰ βουλευτὰς εἶναι, καὶ τὰ βουλευτῶν πράττειν, καὶ τοῖς λειτουργήμασι τοῖς βουλευτικοῖς προσέχειν, οὐδενὸς, καθάπερ εἰπόντες ἔφθημεν, βοηθεῖν αὐτοῖς πρὸς τοῦτο δυναμένου, κἂν εἴ τι πεπορισμένον αὐτοῖς εἴτε ἐκ τῆς αὐλῆς εἴτε ἄλλοθεν εἴη. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ ἐπ' ὠφελείᾳ τῶν πόλεων καὶ τῶν βουλευτηρίων δόξαντα, καὶ τῷδε τῷ θείῳ δηλούμενα νόμῳ, ἡ σὴ ὑπεροχὴ καὶ φυλάττειν καὶ ἔργῳ παραδιδόναι σπευδέτω· ποινῆς ἐπικειμένης viginti librarum auri, κατὰ τῶν τόνδε ἡμῶν τὸν νόμον παραβαίνειν θαρρούντων. DAT. XV. K. MART. CONSTANTINOP. BILIS. V. C. CONS.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ ἀποκαταστάσεως προικιμαίων καὶ προγαμιαίων πραγμάτων. καὶ περὶ τῆς τεκούσης τῷ ἑνδεκάτῳ μηνὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτήν. Διάταξις λθ.

Ὁ ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΤΟ ῥευστὸν καὶ πεποικιλμένον τῆς ἀνθρωπίνης φύσεως, καὶ τῆς κατὰ μικρὸν δεόμενον θεραπείας, οὐκ ἂν ἄλλως εἰς τὸ καλῶς ἔχον ἐπιμεληθείη, κἂν εἰ τὰς περὶ τὰς τῆς αὐτοῦ κυβερνήσειεν ἀρχάς, εἰ μὴ καὶ τὸ κατὰ μέρος αὐτοῦ ἐπιμερισάμενον διαλύων, οὕτως αὐτὸ καθιστῶν πρὸς τὸ γαληνόν τε καὶ ἀπράγμον καὶ νόμοις πρέπον. ὁποῖον δή τι καὶ νῦν ἐπελθὸν, εἰς νόμου χρείαν ἡμᾶς κατέστησεν. Ἴσμεν γὰρ ὡς καὶ πρόσθεν ἐστασιάζετο τὰ περὶ τῶν ἀποκαταστάσεων, καὶ εἰ συνέβη τινὰς ὑποθήκας ὑποτίθεσθαι τοῖς βαρυνομένοις, πολλῆς τὸ πρᾶγμα ταραχῆς ἦν, εἴτε δέοι καὶ τὰ ἀποκατασταθῆναι κελευσθέντα πράγματα κινδυνεύειν, εἴτε μόνα τὰ τοῦ βεβαρημένου τῇ ἀποκαταστάσει. καὶ πολλή τις ἦν καὶ περὶ αὐτὴν τὴν τῶν ῥημάτων διαφορὰν ζήτησις, εἴτε ὁ τελευτῶν διετάξατο τὰ περιττεύοντα πρὸς τῇ τελευτῇ τοῦ βεβαρημένου τῇ ἀποκαταστάσει πράγματα δεῖν ἀποκατασταθῆναι, εἴτε καὶ ἁπλῶς ἀποκατασταθῆναι τὸ καταλειφθὲν μετὰ τὴν παρακατάσχεσιν τοῦ νομίμου μέρους κελεύσειε. ἐντεῦθεν εἰσήγοντο καὶ fideicōmissi persecutiones, καὶ ἐξ ἀπορίας αἱ in rem missiones, καὶ οἵ πολλοί τε ἐκεῖνοι καὶ ποικίλοι καὶ ἀνέκλυτοι σχεδὸν τῆς ῥηθείσης in rem missionis κύκλοι. Καὶ ὡς ἡμεῖς πρόσθεν ταῦτα ἰώμενοι, νόμον ἐγράψαμεν, καθάπαξ κωλύοντες τὰ ἀποκαταστάσει βεβαρημένα πράγματα μὴ ἐκποιῆσαι ἢ ὑποτίθεσθαι, ἀλλὰ μετὰ τῆς οἰκείας ὁδεύειν τύχης· καὶ πᾶν ὅπερ ἂν γένοιτο, μὴ μένειν ἰσχυρῶς, ἀλλ' ἐπιμένειν πρὸς τὸν ᾧ δοθῆναι προσετάχθη. καὶ ὅ γε νόμος ἤδη που καὶ χρόνιός ἐστι, καὶ ἐν τοῖς δικαστηρίοις εὐδοκιμῶν διετέλεσεν. ἀλλ' ἔμελλεν, ὅπερ εἰπόντες ἔφθημεν, ὁ φέρειν ἀπόλυτα πεφυκὼς χρόνος δεικνύναι δεῖν τινὸς ἐξαιρέσεως ἀναγκαίας τῷ νόμῳ. Προσῆλθον γὰρ ἡμῖν ἄνδρες τε καὶ γυναῖκες ἐκ τούτων ἀδικούμενοι. τελευτήσαντος γὰρ ἀνδρὸς ἐπί τινος κινηθείσης ὑποθέσεως, ἡ μὲν γαμετὴ τήν τε φερνὴν εἰσέπραττε, τῆς τε δωρεᾶς τῆς πρὸ τῶν γάμων, ἤτοι διὰ τὸν γάμον, γινομένης τὸ μέρος, ὅπερ ὁ τοῦ ἀνδρὸς αὐτῇ θάνατος ἐδίδου. ὁ δὲ τοῦ τελευτήσαντος ἀδελφὸς ἑτέρωθεν ἀντείχετο τῶν πραγμάτων, καὶ τὴν τοῦ πατρὸς προὐτείνετο βουλήν· καὶ ἀφεῖλκε τῆς γυναικὸς τὰ πράγματα, φάσκων τὸν μὲν ἀδελφὸν τὸν αὐτοῦ ταῦτα δαπανῆσαι, ἑαυτὸν δὲ παρὰ τῇ γυναικὶ βλέπειν τὰ πατρῷα πράγματα, ἅπερ ὁ πατὴρ ἐξ ἀπαιδίας ἀποκατασταθῆναι προσέταξεν αὐτῷ· καὶ ἀντιλήψεσθαι μέχρι παντὸς αὐτῶν, καὶ οὐκ ἐνδώσειν ἕως ἂν τὸ ἰσχῦον τῷ ἡμετέρῳ νόμῳ διὰ πάντων γένοιτο. ἀλλ' ὠδύρετο δικαίως ἡ γυνὴ, καὶ ἔφασκεν οὐ δίκαιον εἶναι καθάπερ ἐπ' ἐξαπάτῃ, κύριον μὲν τὸν ἄνδρα γίνεσθαι τῆς προικὸς ἁπάσης· καὶ, εἴγε προτελευτᾶν τὴν γυναῖκα συνέβαινε, τὸ κέρδος ἔχειν, κατὰ τὸ σύμφωνον· ἐπειδὴ δὲ ὁ ἀνὴρ ἐτελεύτησεν, αὐτὴν ἀγνοοῦσαν τὴν ἀποκατάστασιν, ἀπολέσθαι κινδυνεύειν. ἀλλ' ἐνταῦθα μὲν δέδοται τῷ πράγματι τύπος ὃν ἔχειν καλῶς ἐνομίσαμεν. Αὖθις δὲ ἕτερος ἱκέτης ἀνεφάνη, λέγων τὸν τῆς γυναικὸς πατέρα τὴν οὐσίαν ἀποκαταστῆ-

Universidad Carlos III de Madrid. Biblioteca

σαι τοῖς ἄλλοις αὐτοῦ παισίν, ἐλαχίστην δὲ μοῖραν μόνην παρ᾽ αὐτῇ κελεῦσαι μένειν· καὶ μέγαν αὐτὸν περιίστασθαι κίνδυνον, εἴγε ἡ μὲν αὐτοῦ περιουσία κινδυνεύοι περὶ τὴν τῆς προικὸς ἀποκατάστασιν, περί τε τὸ ὁλόκληρον τὸ ἐκ τῶν γαμικῶν συμβολαίων, ἐπὶ τῇ πρὸ γάμου δωρεᾷ σύμφωνον· αὐτῷ δὲ οὐδενὸς ἐξείη τυχεῖν τούτων, διὰ τὴν ἐκ τῆς ἀποκαταστάσεως τῶν πραγμάτων ἀφαίρεσιν. Ταῦτα ἡμᾶς εἰκότως ἐκίνησε, καὶ ἄμεινον ᾠήθημεν τὸν ἡμέτερον ἐπανορθῶσαι νόμον ἢ τοὺς ὑπηκόους περιορᾶν κινδυνεύοντας· καὶ μάλιστα ἐν γάμοις, ὧν οὐδέν ἐστιν ἀνθρώποις χρησιμώτερον, οἷα καὶ μόνων ποιεῖν ἀνθρώπους δυναμένων. Διά τοι τοῦτο τὸν πρότερον τεθειμένον νόμον, τὰ μὲν ἄλλα πάντα τῆς παρ᾽ ἡμῶν τεθειμένης διατάξεως κύρια μένειν βουλόμενοι· τουτὶ δὲ καινίζοντες μόνον, ἵνα εἴ τις τὸ λοιπὸν ἀποκατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμάτων, πρῶτον μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον (τοῦτο γὰρ ἐπηνωρθώσαμεν, πενίαν αὐτοῦ πολλὴν καταγνόντες) ἀλλὰ τὸ τρίτον πάντως, ἢ τὸ ἥμισυ, κατὰ τὸν τῶν παίδων ἀριθμόν· ἔπειτα καὶ εἰς τὸ λειπόμενον τῆς οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος πρὸς προικὸς ἢ προγαμιαίας δωρεᾶς ἐπίδοσιν, εὐσχημόνως καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμένης, ἐξῃρῆσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως, καθ᾽ ὅσον προστιθέμενον τῷ νομίμῳ μέρει, τὴν προῖκα ἢ τὴν πρὸ γάμου ποιεῖ δωρεάν. θεσπίζομεν γάρ, κατὰ τοῦτον τὸν τρόπον ἐξῃρῆσθαι παντοίως τῆς ἀποκαταστάσεως τὰ γαμικὰ συμβόλαια, καὶ τὰς ἐπὶ τούτοις ἐκποιήσεις ἢ ὑποθήκας. κἂν εἰ βεβαρημένον εἴη τὸ πρόσωπον ἢ τὸ τοῦ ἀνδρὸς, ἢ τὸ τῆς γυναικὸς, ἀποκαταστάσει τοιαύτῃ, ἐξέστω καὶ οὕτως τὴν καλουμένην προγαμιαίαν ἢ διὰ γάμον δωρεὰν ἐπιδιδόναι, μηδέν, τό γε ἐπὶ τοῖς πράγμασιν, ἐκείνης τῆς ἀποκαταστάσεως δρώσης· εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοιτο, μὴ ἐμποδὼν γίνεσθαι πρὸς τὴν τῆς προικὸς ἐπίδοσιν. τὰ γὰρ κοινῇ πᾶσι συμφέροντα τῶν ἰδίᾳ τισὶ λυσιτελούντων προτίθεμεν. καὶ ἔστω τοῦτο ταῖς γαμικαῖς ἐπιδόσεσι καὶ ταῖς ἐντεῦθεν ἀπαιτήσεσι προνόμιον. εἰ γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ πρόληψιν ἐξεῖλον (καίτοιγε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα) πῶς οὐχ ἡμεῖς ἐκ μείζονός τε καὶ καλλίονος γνώμης τὴν τῶν γαμικῶν κερδῶν ἐξαίρεσιν ποιησόμεθα; ταῦτα δὲ πάντα τῷ μέλλοντι χαριζόμεθα χρόνῳ, καὶ ταῖς ὕστερον ἐσομέναις ἀποκαταστάσεσιν ἢ τόνδε γενέσθαι τὸν νόμον. οὐδὲ γὰρ ἐκεῖνο γενέσθαι συγχωροῦμεν τὸ βλάβος, ἵνα εἴ τις γυνὴ ὀλίγην ἔχουσα προῖκα, εἶτα τὸν νόμον μαθοῦσα τὸν ἡμέτερον· ἢ εἴ τις ἀνὴρ μετρίαν ποιησάμενος προγαμιαίαν δωρεάν, πρὸς περιγραφὴν τοῦ νόμου, βουληθείη αὔξησιν ἢ τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς ποιήσασθαι· τὸ ἕλκειν πρὸς ἐπιβουλὴν τῶν ἀποκαταστάσεων. εἰ ταύτην γὰρ ἀναιροῦμεν τὴν περιγραφήν, οὐδὲν ὄφελος ἔχει διδόντες τοῖς ποιουμένοις τὰς ἐπαυξήσεις, ὅσον πρὸς τὴν ἐπὶ ταῖς ἀποκαταστάσεσι βλάβην καθαρὸν τῷ μέλλοντι χρόνῳ τὸν ἡμέτερον τηροῦντες νόμον. ἓν μὲν δὴ τοῦτο κεφάλαιον ἔσται τῷ παρόντι νόμῳ.

Δεύτερον δὲ ἐκεῖνο τὸ περὶ τῶν γυναικῶν τῶν μετὰ τοὺς προτέρους γάμους πρὸς δεύτερον ἐπαχθεισῶν συνοικέσιον, καὶ πρὶν τὸν ἐνιαυτὸν ἐξήκειν ὃν δὴ πένθιμον οἱ νόμοι καλοῦσιν. ἃς ἐπιμωροῦντο διατάξεις πρὸς τῶν πρὸ ἡμῶν αὐτοκρατόρων· καὶ ἡμεῖς ἔναγχος τι περὶ τούτου γράψαντες νόμον, μετά τινων ἐπανορθώσεων, καὶ τὰ περὶ αὐτῶν νομοθετηθέντα ἐν βραχείᾳ τινὶ μοίρᾳ τῆς ἡμῶν αὐτῶν νομοθεσίας προσηκάμεθα. ἀλλ᾽ ἀναιδέστατόν τι νῦν ἀπήντησεν, ὅπερ ἐπὶ τοῖς ἡμετέροις συμβῆναι χρόνοις οὐκ ἠβουλόμεθα. ὥστε ἡμῖν εἰκότως

Universidad Carlos III de Madrid. Biblioteca

ἔδοξεν ἐπανορθώσεως ἄξιον καθεστάναι. γυνὴ γὰρ εἰς ἀνδρὸς ἐλθοῦσα, οὗτον ἀπέβαλεν, ὡς ἔοικε, καὶ ἔτι περιόντος αὐτοῦ, τὸ μὴ σωφρονεῖν ἐννοοῦσα. οὔπω γὰρ ἐξήκοντος τοῦ ἔτους, κατὰ τὸν ἑνδέκατον μῆνα περαιούμενον ἔτεκεν. ὥστε οὐκ εἶναι δυνατὸν εἰπεῖν ὡς ἐκ τοῦ τελευτήσαντος γένοιτο τὸ βρέφος. οὐ γὰρ ἂν εἰς τοσοῦτον ἡ κύησις ἐξετάθη χρόνον. καὶ ἐπειδὴ καὶ τοῦτο ἕν ἐστι τῶν ἐπιτιμίων τῶν τοῖς ἀώροις γάμοις προσιόντων, τὸ τὴν γαμετὴν ἐκπίπτειν εὐθὺς τῆς προγαμιαίας δωρεᾶς τῆς παρὰ τοῦ ἀνδρὸς ἐπιδεδομένης, ὥστε καὶ αὐτίκα ταύτην ἀπολλύναι, καὶ μηδὲ τὴν χρῆσιν ἔχειν· εἰκότως οἱ παῖδες οἱ τῆς θαυμαστῆς μητρὸς ἐκείνης περιυβρισμένοι τὴν γονὴν προγαμιαίαν τοῦ πατρὸς ἠξίουν λαβεῖν δωρεάν, καὶ μὴ κερδαίνειν ὀφείλειν τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς, ὃν οὕτω θᾶττον ἠτίμασεν. ἡ δὲ (ἀλλὰ πῶς εἴπωμεν τὰ περὶ αὐτῆς ἐρυθριῶμεν) οὐκ ἀξίαν ἔλεγεν ἑαυτὴν εἶναι τῆς ἐκπτώσεως, διότι τὸν νόμον ἠπίστατο περὶ νομίμων διαλεγόμενον γάμων· ἑαυτῇ δὲ γάμον οὐ γενέσθαι παρὰ τὸν πρότερον, ἀλλὰ τὸν τοκετὸν τοῦτον εἶναι φυσικῆς ἐπιθυμίας πάρεργον. ἀλλ' ὅτι μὲν αὐτὴ τοῖς μυρίοις ἑτέροις ὑπόκειται σωφρονισμοῖς, ἐξαμαρτοῦσα ſtuprum, τῶν ἀνωμολογημένων ἐστὶ, καὶ τῶν γε ποινῶν ἐκείνων αὐτὴν οὐκ ἀφίεμεν· τέως δὲ (φειδόμεθα γὰρ τῶν τοῦ τελευτήσαντος παίδων) ἐπάγομεν ἔκπτωσιν αὐτῇ τῆς πρὸ τῶν γάμων δωρεᾶς καὶ ἐπὶ τούτου τοῦ θέματος, ἣν ἐπὶ τῶν νομίμοις προσιουσῶν εἴσω τοῦ πενθίμου χρόνου γάμοις ἔταξεν ὁ νόμος. εἰ γὰρ ἐκείνας ὁ νόμος ἀτιμωρήτους οὐ καταλέλοιπε, καίτοιγε νόμιμον γάμον πραξάσας (διότι τυχὸν ὑπώπτευσε μή τις προϋπῆν ὑποψία πονηρὰ πρὸς τὸν δεύτερον γήμαντα, διόπερ καὶ θᾶττον εἰς τὸν γάμον ἔσπευσε) πῶς οὐκ ἐνταῦθα, ὅπου τὸ πρᾶγμα μὴ καθ' ὑποψίαν ἐστὶ μόνην, ἀλλ' αὐτόθεν ἔλεγχος ἀκριβὴς καὶ ἀπαραλόγιστος ἐδόθη τῷ πλημμελήματι, ὁ πάντων ἐστὶν ἀσεβέστατος τοκετὸς, ἀνεύθυνον αὐτὴν καταλείψομεν; Ὥστε θεσπίζομεν, εἴ τι τοιοῦτο συμβαίη, καὶ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι τῆς προγαμιαίας δωρεᾶς, καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτιμίοις, ὡς ἂν εἰ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλέον ἐχέτω σωφροσύνης ἀσέλγεια, ἀλλ' ὑποκείσθω μὲν καὶ αὐτὴ ταῖς αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς ἀπὸ τοῦ ſtuprou γραφῆς· ὅπως ἂν μηδὲ γάμων ἀώρων ἐπιθυμοίη, μηδὲ τοῖς νομίμοις γάμοις μείζονι κακῷ σοφίζοιτο. Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἡ σὴ ὑπεροχὴ γινώσκουσα, κατὰ τὸ συνῆθες, διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω.

Νόμος ἐγράφη Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ. DAT. XV. K. MAII. CONSTANTINOP. POST BILIS. V. C. CONS.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τοῦ τὴν ἐκκλησίαν τῆς ἁγίας ἀναστάσεως ἐκποιεῖν οἰκήματα κατὰ τὴν αὐτὴν κείμενα πόλιν. Διάταξις μ.

### Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΠΕΤΡΩ ΤΩ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Ἱεροσολύμων.

ΗΔΗ μὲν τὰ περὶ τῆς κωλύσεως τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων νόμῳ κοινῷ διηγόρευται παρ' ἡμῶν, ὃν δὴ καὶ κρατεῖν καὶ κύριον ἐφ' ἅπασιν εἶναι βουλόμεθα· ἐπεὶ δὲ τὸ τοῦ συμφέροντος ἁπάσαις ἐκκλησίαις περὶ ἑνὸς οὐ προσήκει, διαφερόντως δὲ τῆς ἁγίας Ἀναστάσεως, καὶ τοῦ τόπου καθ' ὃν ὁ τοῦ κόσμου δημιουργὸς ἠξίωσεν ἐν ἀνθρώποις ἀνακαταστῆναι γενέσθαι· διὰ τοῦτο ὠήθημεν τὸν παρόντα γράψαι νόμον, οὐκ ἐπ' ἀναιρέσει τῶν ἤδη παρ' ἡμῶν νενομοθετημένων, ἀλλ' ἐπί τινι προσηκούσῃ τε καὶ ἀναγκαίᾳ τοῖς πράγμασιν ὠφελείᾳ. πᾶσι γάρ ἐστιν ἀνθρώποις φανερὸν, ὅτι τὴν ἁγιωτάτην Ἀνάστασιν τοὺς ἐκ πάσης τῆς οἰκουμένης ἐκεῖσε συῤῥέοντας (ὧν τὸ πλῆθος ἄπειρον εἰπεῖν) καὶ ὑποδέχεσθαι καὶ τρέφειν, καὶ ποιεῖσθαι δαπάνας ἀμέτρους τε καὶ παρὰ πάσας ἐλπίδας, τοῖς ἐκεῖσε ἀθροιζομένοις ἀρκούσας, κατὰ τὴν θαυματουργίαν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ πλῆθος ἀμύθητον ἐξ ὀλίγων ἐκθρέψαντος ἄρτων, καθ' ἡμέραν δεχομένην. ὥστε αὐτῇ καὶ πόρων δεῖν πλειόνων, καὶ προφάσεων εὐσεβῶν, καθ' ἃς μόνοι δυνατὴ καθεστάναι πλήθει βοηθεῖν τοσούτῳ. ἐγνώσθημεν τοίνυν ὡς κατὰ τὸ πρὸν Εὐσέβιος ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ κειμηλιάρχης τῆς κατὰ τὴν βασιλίδα ταύτην πόλιν ἁγιωτάτης ἐκκλησίας, παραγενόμενος ἐν τῇ ῥηθείσῃ τῶν Ἱεροσολυμιτῶν πόλει, καὶ τὸν σεμνὸν αὐτοῦ καὶ θεοφιλῆ καὶ νῦν ἐνδεικνύμενος τρόπον (δι' οὗ πολλαῖς καὶ μεγάλαις καὶ δικαίαις αὐξήσεσι τὰ τῆς ἁγιωτάτης ἐκκλησίας ηὔξησε πρόσοδον) ἴσχυσε τριακοσίων ὀγδοήκοντα χρυσίου λιτρῶν ὠνήσασθαι πρόσοδον τριάκοντα, μικρῷ πλεῖον ἢ ἔλαττον, χρυσίου λιτρῶν· τὰ μὲν τῶν χρημάτων ἀθροίσας εὐσεβῶς, τὰ δὲ καὶ δανείσασθαι παρασκευάσας τοὺς θεοφιλεστάτους οἰκονόμους τῆς εἰρημένης ἁγίας Ἀναστάσεως. ἐδίδαξέ τε ἡμᾶς ὡς οἱ δανεισταὶ τὰ οἰκεῖα λαβεῖν ἐπιζητοῦσι, καὶ ὡς ἕτερον εὗρε παράδοξον πόρον. πολλῶν γὰρ συῤῥεόντων καὶ ἐπιφοιτώντων τῇ ῥηθείσῃ τῶν Ἱεροσολύμων πόλει, πόθῳ τῶν ἀνειμένων τῷ θεῷ τόπων, ἐπιθυμοῦσιν ὠνήσασθαι οἰκήσεις ἐκκλησιαστικὰς χρυσίου πολλοῦ· ὅπως ἂν αὐτοῖς ἐξείη τῆς κατὰ τὸν εἰρημένον τόπον ἀπολαύειν οἰκήσεως· μὴ δύνασθαι δὲ ταῦτα πρᾶξαι τοὺς προεστῶτας τῆς ἁγίας Ἀναστάσεως, διὰ τοῦ νόμου τοῦ παρ' ἡμῶν ἐπὶ ταῖς ἐκκλησιαστικαῖς ἐκποιήσεσι τεθέντος. καίτοιγε τοσαύτης οὔσης τῆς ὠφελείας, ὥστε εἰς ἐνιαυτοὺς πεντήκοντα βούλεσθαί τινας τὰ στεγονόμια ταῦτα ὠνήσασθαι. κἀντεῦθεν πολλοῦ τε καὶ οὐδὲ εἰπεῖν ὅσου τοῦ διαλλάττοντος γινομένου, εἴπερ ἡ μὲν κτῆσις τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσγέγονεν τῆς προσόδου περί που τῶν τριάκοντα τοῦ χρυσοῦ λιτρῶν, καὶ ταῦτα θαυμασίας καθεστώσης, μόλις ἐπὶ τρισκαίδεκα ἔτεσιν· ἡ δὲ τῶν οἰκημάτων πρᾶσις ἐπὶ πεντήκοντα ἐν αὐτοῖς γενήσεται. καὶ μάλιστα τοῦ πράγματος ἐν οἰκήμασιν ἱσταμένου, ἅπερ ταῖς γραῖς ἁπάσαις ὑπόκειται περιστάσεσιν, εὐθὺς οἷον ἀπολλύμενα ταύταις, καὶ ἴχνος οὐδ' ὁτιοῦν περισώζειν ῥᾳδίως δυνάμενα, εἴπερ ἔκ τινος (ἀπείη δὲ τοῦτο καὶ τοῦ λόγου) περιστάσεως κατενεχθείη, ἢ ἄλλως ἀναλωθείη. ταῦτα ἡμᾶς ἀφικέσθαι πρὸς τὸν παρόντα νόμον παρεσκεύασεν, ὃν ἀνατίθεμεν τῷ δεσπότῃ θεῷ, καὶ τῇ

Universidad Carlos III de Madrid. Biblioteca

τῶν πασῶν ἐκκλησιῶν ἁγιωτάτῃ Ἀναστάσει. διὸ δὴ θεσπίζομεν τὰ μὲν ἄλλα πάντα ἐπὶ τῆς ἁγιωτάτης Ἀναστάσεως, προφάσει χωρίων ἐκκλησιαστικῶν (οὐδὲ γὰρ αὐτῇ παντελῶς ἐφίεμεν πρᾶσιν οὐδεμίαν ποιήσασθαι χωρίων) ἐπὶ μέντοι τῶν οἰκημάτων χαλῶμεν τι τῆς ἀκριβείας τοῦ νόμου. εἰ γὰρ ἐπ' ὠφελείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν τοῦτον ἐγράψαμεν, ὁρῶμεν δὲ τηλικαύτην ἐν τῷ πράγματι τὴν ὠφέλειαν οὖσαν, πῶς οὐκ ἂν διὰ τοῦ παρόντος νόμου τοῦτο αὖθις ἐφήσομεν, παραδιδόντες καὶ τοῖς πιπράσκουσιν ἄδειαν, καὶ τοῖς ὠνουμένοις ἀσφάλειαν; καὶ μάλιστα ἐπειδὴ συνίσμεν τῷ χρόνῳ θᾶττον ἄξοντι πάλιν τὰ οἰκήματα πρὸς αὐτήν, οἷα τῶν ταῦτα ὠνουμένων, ὥσπερ διὰ τὴν περὶ τὸ θεῖον σπουδὴν ἐώνηνται ταῦτα, οὕτω καὶ ἐπειδὰν τελευτῶσιν, αὐτῇ ταῦτα καταλιμπανόντων. ἐξέστω τοίνυν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ποιήσασθαι τὴν τῶν οἰκημάτων πρᾶσιν, μηδὲν εὐλαβουμένῃ τὸν νόμον τὸν ἐν γένει περὶ τούτων κείμενον, διότι νόμῳ νεωτέρῳ τὴν ὑποδιαίρεσιν ἔχει, οὐδὲ τινος ποινῆς ἐκεῖθεν καθ' οἱουδήποτε προσώπου παντελῶς ἁρμοζούσης· εἴς τε τὸν ἐφεξῆς χρόνον αὐτὸ τοῦτο πράττειν, εἴπου τι τηλικοῦτον ἀνακύψειεν ὄφελος, ὡς πολλαπλάσιον ἀγαθὸν ἀντ' ἐλαχίστου τῇ ἁγιωτάτῃ προσιέναι διὰ τῆς ἐκποιήσεως Ἀναστάσει· πάσης μὲν ἐχόντων ἀσφάλειαν τῶν ταῦτα ὠνουμένων, νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, καὶ οὐδεμίαν ἀφαίρεσιν εὐλαβουμένων· οὐκ αὐτῶν, οὐ κληρονόμων αὐτῶν, οὐ διαδόχων, οὔτε νῦν, οὔτε εἰς ἕτερον χρόνον. διὰ τὸ κατὰ τὸν παρόντα νόμον αὐτοὺς θαρροῦντας ἐπεισελθεῖν τὴν ἀγορασίαν, οὐκ εἶναι δικαίους τινὰ ὑποστῆναι περὶ τούτου ταραχήν, ἢ μέμψιν, ἢ ζημίαν, ἢ ἀφαίρεσιν· δεκρέτου δηλαδὴ προτιθεμένου παρὰ τῇ σῇ μακαριότητι, παρόντων τῶν ἐκ τοῦ εὐαγοῦς κλήρου, καὶ δεικνυμένης τῆς αἰτίας καθ' ἣν ἡ ἐκποίησις τῶν οἰκημάτων γίνεται, ὅτι μειζόνων ἕνεκεν ἀγαθῶν ἡ τούτων πρᾶσις σπουδάζεται· ὀλίγων μὲν τῶν ἐκποιουμένων ὄντων, πλειόνων δὲ καὶ καλλιόνων τῶν ἐντεῦθεν προσγινομένων· δηλαδὴ κατὰ τὸ πρότερον τῶν τιμημάτων τῶν ἀθροιζομένων ἐκ τῶν ἐνοικίων τῆς πράσεως ἐπὶ πεντήκοντα ἔτεσι γινομένης, εἰς διάλυσιν τῶν χρεῶν καταβαλλομένων, ἅπερ οἱ δανεισταὶ δεδώκασιν ἐπὶ τῇ τῆς εἰρημένης προσόδου κτήσει. εἰ γὰρ ὁ πάντων δεσπότης τε ἅμα καὶ δημιουργὸς θεὸς ἠξίωσε τηλικαύτην αὐτῇ δοῦναι προνομίαν παρὰ τὰς ἄλλας πόλεις, ὥστε ἐξ αὐτῆς ἀναστῆναι κατὰ τὴν σάρκα, πρόδηλον ὡς καὶ ἡμεῖς ἀκολουθοῦντες τῷ δεσπότῃ θεῷ, καὶ ταῖς μεγάλαις αὐτοῦ θαυματουργίαις καθ' ὅσον ἀνθρώπῳ δυνατόν, προνομίαν τινὰ δεδώκαμεν αὐτῇ παρὰ τὰς ἐκκλησίας τὰς ἄλλας, ὥστε αὐτὴν ἀπολαύειν τοῦδε ἡμῶν τοῦ νόμου, ὃν ὥς τινα καρποφορίαν αὐτῇ προσάγομεν, ὃ συμφέρειν αὐτῇ διὰ πάντων ἐπιλεγόμενοι καὶ τιμῶντες. Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ ἰδικοῦ νόμου, καὶ αὐτοῦ τοῖς τῶν νόμων ἐγγραφησομένου βιβλίοις, ἡ σὴ μακαριότης γινώσκουσα, φανερὸν αὐτὸν τοῖς αὐτόθι πᾶσι καταστησάτω· δεξάτω τε τὴν ἡμετέραν προαίρεσιν, ἣν ἐπὶ τῇ ἁγιωτάτῃ καὶ δικαίως παρὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους προσκυνουμένῃ Ἀναστάσει τὸ ἡμέτερον ἔχει κράτος, καὶ τῷ δεσπότῃ προσάγει θεῷ, τῷ τοσούτων ἡμᾶς καὶ τηλικούτων ἀγαθῶν παρὰ τοὺς ἄλλους ἅπαντας τοὺς πρὸ ἡμῶν βεβασιλευκότας ἐφ' ἑκάστης ἀξιώσαντι καὶ ἀξιοῦντι.

Ἰδικὸς νόμος, γραφεὶς Πέτρῳ τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς Ἱεροσολυμιτῶν πόλεως. DAT. XV. K. IVN. CONSTANTINOP. POST BILIS. V. C. CONS.

Universidad Carlos III de Madrid. Biblioteca

Ἡ διάταξις πρὸς Βόνον κοιαίστωρα exercitus τάττει τὰς ἐκκλήτους ἀπὸ τῶν πέντε ἐπαρχιῶν, Καρίας καὶ Κύπρου, καὶ τῶν Κυκλάδων νήσων, καὶ Μυσίας καὶ Σκυθίας, παρὰ τίνι δεῖ ταύτας ἐξετάζεσθαι. Διάταξις μα.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΒΟΝΩ ΤΩ ΕΝδοξοτάτῳ κοιαίστωρι Ἰουστινιανῶ exercitus.

ΙΣΜΕΝ πρώην θείαν πεποιημένοι διάταξιν, καθ' ἣν τῇ σῇ ἐνδοξότητι παραδεδώκαμεν τὰς πέντε ταύτας ἐπαρχίας, Καρίαν τε καὶ Κύπρον, καὶ τὰς ἐν κύκλῳ κειμένας νήσους, καὶ πρός γε Μυσίαν τε καὶ Σκυθίαν, ἐφ' ᾧ τελεῖν αὐτὰς ὑπὸ τῇ σῇ ἐνδοξότητι· προσθέντες ὥστε καὶ τὰς ἐκκλήτους γινομένας δίκας κατὰ τὰς εἰρημένας ἐπαρχίας, μηκέτι πρὸς τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους, ἀλλὰ πρὸς τὴν σὴν ἀναπέμπεσθαι μεγαλοπρέπειαν. ἐπειδὴ τοίνυν πολλοὶ προσῆλθον ἡμῖν τῶν ἐκ Καρίας καὶ Ῥόδου καὶ Κύπρου, δυσχεραίνοντες, καὶ φάσκοντες ἀναγκάζεσθαι πολλάκις καὶ χειμῶνος ὥρᾳ γίνεσθαι κατὰ τὴν Σκυθῶν καὶ Μυσῶν ἔνθα διάγεις, κἀκεῖσε τὰς ἐκκλήτους, ἴσως οὐδὲ ὑπὲρ μεγάλων χρημάτων, ἐγυμνάζειν, καὶ κινδυνεύειν καὶ πελάγη διαπερῶν τὰς μακρά, καὶ ἀφικνουμένους εἰς χώρας ὑπὸ βαρβάρων ἐνοχλουμένας· διὰ τοῦτο συνείδομεν τόνδε τὸν νόμον γράψαι πρὸς τὴν σὴν ἐνδοξότητα, ὥστε τῶν μὲν ἐκ Σκυθίας καὶ Μυσίας δικῶν, ὡς ἐκ γειτόνων οὐσῶν, τὴν σὴν ὑπεροχὴν καθ' ἑαυτὴν ἀκροᾶσθαι· τῶν δὲ ἄλλων, τουτέστι τῶν ἀπὸ Καρίας, καὶ τῶν εἰρημένων νήσων, καὶ Κύπρου, εἴπερ ἐξ ἀρχῆς αὗται παρὰ τοῖς ἐνδοξοτάτοις ἡμῶν ἐπάρχοις ἠγωνίζοντο, ἐκ θείας κελεύσεως ἡμῶν παραδεδομέναι τῷ τῆς ἐπαρχίας ἄρχοντι· εἰ μὲν αὐτὸς ἐνδημοίης ταύτῃ τῇ βασιλίδι πόλει, καὶ αὐτὰς ὑπὸ σοῦ κινεῖσθαι, καὶ ἐξετάζεσθαι, ἅμα τῷ ἐνδοξοτάτῳ κοιαίστωρι τοῦ θείου ἡμῶν παλατίου, ἐν sacro auditorio (καθάπερ καὶ ὁ ἐπὶ τοῖς ἐκκλήτοις κείμενος ὑφηγεῖται νόμος) εἰ δὲ αὐτὸς ἐπὶ Σκυθίας καὶ Μυσίας διατρίβοις, τῷ τὸν τόπον πληροῦντί τὸν σὸν κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν, προσάγεσθαι τὰς ἐφέσεις. πάντως μέντοι γινόμενον αὐτὸν ἅμα τῷ ἐνδοξοτάτῳ ἡμῶν κοιαίστωρι, τῆς ὑποθέσεως ἀκροᾶσθαι, κατὰ τὸ τῶν τοιούτων ἐξετάσεων σχῆμα, καὶ μὴ τοὺς ἀνθρώπους τὰς εἰρημένας ὑπομένειν δυσκολίας· ἀλλ' ὑπ' αὖθις κοινῇ, κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον, κρίνεσθαι, διὰ τὸ παραστῆναι ἡμῖν οὕτω τάξαι τὸν νόμον, ὥστε μετὰ πλείονός τε καὶ μείζονος ἀκριβείας καὶ αὐθεντίας τὰς ὑποθέσεις ἀγωνίζεσθαι. εἰ δὲ αὐτὸς ἐνδοίης τὸν δικαστὴν ἐπὶ τῶν εἰρημένων ἔμπροσθεν ἐπαρχιῶν, ὁ τὴν τάξιν ἐπέχων τὴν σὴν κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν ἀκροάσεται, καθὰ καὶ παρὰ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ νενόμισται. εἰ μέντοι ἀρχθῆναι παρὰ τῇ σῇ ἐνδοξότητι συμβαίη τὴν δίκην, ἐνταῦθα, ὡς εἰκός, εὑρισκομένης, εἶτα ἐν μέσῳ διὰ τὰς στρατιωτικὰς δαπάνας ἐκδημῆσαι, ταύτην ἀνυπερθέτως πληροῦσθαι παρὰ τῷ τὴν σὴν ἔχοντι τάξιν, καθάπερ αὐτῆς καὶ αὐτὸς ἠκροῶ. Εἰ δὲ ἐξ ἀρχῆς οὐ παρὰ τοῖς ἐνδοξοτάτοις ὑπάρχοις ἡ ἔφεσις ἔκ τινων ἐπαρχιῶν ἀνεπέμπετο, ἀλλ' εἰς ἕτερον δικαστήριον, τὴν ἀρχαιότητα παντελῶς οὐ καινίζομεν. Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοῦναι, καὶ παραφυλάττειν εἰς τὸ διηνεκὲς σπευσάτω. DAT. XV. K. SEPT. CONST. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BILIS. V. C. CONS. IND. I.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τῆς καθαιρέσεως Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου καὶ Ζωορᾶ, καὶ τῶν λοιπῶν. Διάταξις μϐ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ ΑΓΙΩτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΠΡΑΓΜΑ οὐκ ἀήθες τῇ βασιλείᾳ καὶ ἡμεῖς πράττοντες, ἐπὶ τὸν παρόντα ἐληλύθαμεν νόμον. ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφός τινας τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων (ὁποῖον δὴ Νεστόριόν τε καὶ Εὐτυχέα, Ἄρειόν τε καὶ Μακεδόνιον καὶ Εὐνόμιον, καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων) τοσαυτάκις καὶ ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ· ὥστε τὰ θεότερά τε καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιῆσαι ψήφοις. Ὅμοιον δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν, ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ (τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης, προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας) οἷα παρὰ μηδένα τρόπον αὐτῷ προσήκοντι παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπεισπηδήσαντα θρόνῳ· κοινῇ δὲ ψήφῳ τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον, καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς συνόδου καταδεδικασμένον τε καὶ καθῃρημένον· διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων, καὶ οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων, ταῦτα ὕστερον διαφόροις ἀπέφυγε περινοίαις· προσποιούμενος μὲν ταῖς τέτταρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν (τῇ τε τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίᾳ, τῇ τε τῶν πεντήκοντα καὶ ἑκατὸν τῶν ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, τῇ τε τῶν ἐν Ἐφέσῳ τὸ πρῶτον συναχθέντων διακοσίων, τῇ τε τῶν θεοφιλεστάτων πατέρων τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα) οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν, οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν, καὶ τὴν συγκατάβασιν ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν ἐχρώμεθα, προσδέξασθαι βουληθείς, οὐδὲ ἀποκηρύξαι καὶ αὐτὸς τοὺς τῶν ἀσεβῶν δογμάτων ἀρχηγούς, τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων, ἀλλ' οἰόμενος χρῆναι κατὰ ταυτὸν καὶ ἐν ἴσῳ τούς τε καταδεδικασμένους τούς τε καταδικάσαντας ἄγειν. ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις καταδραποδισθείς, καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων, εἰκότως ἐπανελθεῖν εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ὀρθότητα· καὶ ταῦτα, παρὰ ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθείς, πάσῃ χρησαμένων σπουδῇ πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ. Διὰ ταῦτα τοίνυν ἅπαντα, τὴν γενομένην ἐπ' αὐτῷ τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου, προφάσει τῆς τε οὐ θεμιτῆς οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρουμένης τῶν τῆς βασιλίδος ταύτης πόλεως ἱερατικῶν θρόνων ἁρπαγῆς, καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς, κυρίαν ἡ ἡμετέρα τίθεται βασιλεία, καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. ἀπαγορεύομεν δὲ αὐτῷ καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς, καὶ πάσης ἑτέρας τῶν ἐπισήμων πόλεων· θεσπίζοντες ἐφησυχάσαι, καὶ τούτοις στέργειν οἷς ἑαυτὸν ἀξίως ὑπέθηκεν· καὶ μήτε τισὶν ἐπικοινωνεῖν, μήτε ἐμβιβάζειν αὖθις εἰς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον, τὴν ἐκ πάντων, ὡς εἰπεῖν, τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ τῆς μοναχικῆς συναινέσεως προελθοῦσαν θρόνων, τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῷ, βασιλικῆς ἔξω καταλιμπάνομεν



Universidad Carlos III de Madrid. Biblioteca

ἐπικυρώσεως. ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας, οὕτω συνετάραξεν ἅπαντα, οὕτω μεταπεποίηκε συνταράξας, ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον· καὶ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν συντελέσεις πρὸς αὐτὸν γεγράφθαι, ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησάμενον, ἅπαντα δὲ νῦν ταράξαντα, καὶ μόνων τῶν τε ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον, Νεστορίου τε φαμὲν καὶ Εὐτυχοῦς, καὶ τῶν ἑκατέρου τούτων καθηγεμόνων, ἐξ ἐναντίας μὲν εἶναί πως δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας ἐπειγομένων, καὶ τοὺς ἐκείνων χαρακτηριστικοὺς ἐντυπωσάμενον λόγους. δυοῖν γὰρ ὄντων ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς ψυχικὴν ἀπώλειαν ἄγει (τοῦ τε Νεστορίου, τοῦ τε Εὐτυχοῦς, καθάπερ εἰπόντες ἔφθημεν· ἅπερ ἐκ τῶν Ἀρειανικῶν τε καὶ Ἀπολιναρίου συνέστη μιασμάτων) αὐτός τι παράδοξον παθὼν, ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε, καὶ πῇ μὲν τοῦτο, πῇ δὲ ἐκεῖνο πρεσβεύων, κοινὸν ἔδοξε δοχεῖον ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ λόγους τῶν τηλικούτων πλημμελημάτων καταστῆσαι. ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν εἰρημένον ἀναθεματισμὸν, ὃν ἅπαν τό τε πατριαρχικόν τε καὶ ἱερατικὸν καὶ μοναχικὸν τῆς ἡμετέρας πολιτείας, ὡς εἰπεῖν, σχῆμα δικαίως ἐπήγαγεν αὐτῷ· τῆς μὲν Θεουπολιτῶν ἐκβεβλημένος, διότι περ αὐτὸν ὁ κατ' ἐκεῖνον ἀπεσείσατο θρόνος, οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτοῦ ἐπειλημμένον· ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀνακηρυττομένου τοῦ πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος, παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης ἐκπεπτωκότος. οὐ στάντα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας γενόμενον, καὶ πολλῶν ἡμῖν βιβλίων βλασφήμων τε καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πολίτευμα. ὥστε καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτοῦ τι κεκτῆσθαι βιβλίων. καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία (διότι τοῖς πρὸ ἡμῶν αὐτοκράτορσιν ἐν τοῖς ἑαυτῶν διατάξεσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὅμοια καθεστάναι) οὕτω μήτε τὰ Σευήρῳ ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριστιανῷ, ἀλλ' ἔστω βέβηλα, καὶ ἀλλότρια τῆς καθολικῆς ἐκκλησίας πυρί τε φλεγέσθω παρὰ τῶν κεκτημένων, εἰ μὴ βούλοιντο κινδυνεύειν οἱ ταῦτα ἔχοντες. γραφέσθω τε παρὰ μηδενὸς τὸ λοιπὸν μηδὲ τῶν εἰς κάλλος μηδὲ τῶν εἰς τάχος γραφόντων, μηδὲ ἄλλου τῶν πάντων τινὸς· εἰδότος ὡς ἀποκοπὴ χειρὸς ἔσται τοῖς τὰ ἐκείνου γράφουσιν ἡ ποινή. οὐδὲ γὰρ βουλόμεθα καὶ τῷ λειπομένῳ χρόνῳ τὴν ἐξ ἐκείνων ἐπισύρεσθαι βλασφημίαν. Ὁμοίως δὴ καὶ τοῦτο παντοίως ἀπαγορεύομεν, τῆς τε βασιλίδος ἐπιβαίνειν πόλεως, ἢ περιοικίδος αὐτῆς, ἢ ἄλλης τῶν ἐπισημοτέρων τινός· ἀλλ' ἐν ἐρημίᾳ τινὶ καὶ ἡσυχίᾳ καθῆσθαι, καὶ μὴ διαφθείρειν ἑτέρους, μηδὲ εἰς βλασφημίαν αὐτοὺς περιάγειν, μηδὲ ἀεί τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθινῶν δογμάτων, δι' οὗ πάλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας σπεύσειεν. Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ἐπίσκοπον, καὶ ἅμα μὲν καθῃρημένον, ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς Σευῆρος ὑπὸ τὸν εἰρημένον ἀναθεματισμὸν γενόμενον, ἡ βασιλεία προσίεται· ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ ψηφισθέντα, καὶ ὑπὸ τὸν κοινὸν ἀχθεὶς ἀναθεματισμὸν, ὑπ' αὐτὸν τετάχθω, τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προελθούσης ἐπ' αὐτῷ ψήφου, κυρίας διαμενούσης. οὐκ ἐφίεμεν δὲ οὐδὲ ἐκείνῳ ταύτην οἰκεῖν τὴν βασιλίδα πόλιν, ἢ τὴν αὐτῆς περιοικίδα, ἢ τινα τῶν σεμνοτέρων πόλεων· ἀλλ' ὧν ἠκολούθησε τῇ πλάνῃ, τούτων μιμείσθω

Universidad Carlos III de Madrid. Biblioteca

καὶ τὴν δίαιταν, ἀπῳκισμένος ὅτι πορρωτάτω, καὶ κατακρύπτων ἑαυτόν· ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαίνεσθαι λυσιτελέστερον. ἀφανεῖς μὲν γὰρ ὄντες ἑαυτοὺς καταβλάπτουσι μόνους, δημοσιεύοντες δὲ τὰ ἑαυτῶν δόγματα, πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν. ὅπερ κατ᾽ οὐδένα γενέσθαι τρόπον ἐν τῇ Χριστιανικῇ τοῦ θεοῦ ποίμνῃ καὶ τῷ ὀρθοδόξῳ λαῷ δίκαιόν ἐστιν, οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον. Ἐπειδὴ δὲ καὶ Ζωορᾶν ἠξίωσεν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι καὶ τὰ δίκαια κρίνοντες ἐπίσκοποι ποιήσασθαι, τινὰ μικρὰν παρενθήκην τῶν ἰδίων εἶναι κακῶν, καὶ ἐν οἷς ἠτίμασται, τὸ γοῦν ὅλως τυχεῖν τινὸς εὐπορήσαντα μνήμης· ἔστω καὶ Ζωορᾶς τῆς πονηρᾶς ταύτης μερίδος (Ἀνθίμου τε καὶ Σευήρου καὶ Πέτρου φαμὲν) παρενθήκη τις εὐτελής, καὶ ἐν τοῖς ἀναθεματισμένοις καὶ αὐτὸς τεταγμένος· τῆς ἱερατικῆς αὐτὸν κατενεγκούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ᾽ ἑαυτῆς οὖσαν, κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ, καὶ τοῦτον συνεξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως, καὶ τῆς ταύτης περιοικίδος, καὶ τὴν ἐπὶ τῶν πόλεων οἴκησιν αὐτῷ παντελῶς ἀπαγορεύουσα. ὥστε μετ᾽ ἐκείνων μόνων οἰκεῖν τε καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων, ὁμοίως δὲ περιωρισμένων. Εἰ δέ τι καὶ ἕτερον τῇ τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφῳ, τῇ τοὺς προειρημένους καθαιρούσῃ τε καὶ ἀναθεματιζούσῃ, κύριον δὴ καὶ τοῦτο τίθεμεν, καὶ τοῖς βασιλικοῖς ἡμῶν αὐτῶν νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. εἰ δέ τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τι παρὰ τὰ διατεταγμένα, ἴστω καὶ τοῖς πολιτικοῖς ὑποπεσούμενος νόμοις, οἳ τοὺς τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντας εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. Ἀπαγορεύομεν δὲ καὶ παντὶ τῷ τὴν καθολικὴν ἐκκλησίαν τοῦ θεοῦ διασπᾶν ἐπιχειροῦντι (εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν, εἴτε κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν, εἴτε κατὰ τὴν Σευήρου βλασφημίαν, τοῦ τὰ αὐτὰ ἐκείνοις νοσήσαντος, εἴτε τῶν ἐκείνοις ἀκολουθούντων) ταῖς ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν, καὶ φθέγγεσθαί τι περὶ πίστεως. ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν, καὶ μήτε συγκαλεῖν εἰς ταὐτό τινας, μήτε προσιόντας δέχεσθαι, ἢ παραβαπτίζειν θαρρεῖν, ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν, καὶ ταύτης μεταδιδόναι τισὶν ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι, ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως, ἢ ἐφ᾽ ἑτέρας, ἀλλ᾽ ὑφορᾶσθαι πάντα κίνδυνον, εἴ τι τοιοῦτο πράξαιεν. Ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. ἀπελαύνειν μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ᾽ αὐτῶν ταραττομένων πόλεων· εἰδότας τὰς ποινὰς τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς ἐν αἷς τοιοῦτό τι πράττεται), καὶ τὰ χωρία ἐξ ὧν τὰς τροφὰς χορηγοῦνται, ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι· τῶν μὲν κεκτημένων ἀφαιρούμεναι, διότι βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται), ὑπὸ δὲ τὰς ἁγιωτάτας καὶ ὀρθοδόξους ἐκκλησίας ταῦτα δικαίως ἄγουσαι. Ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν νομοθετοῦμεν, ταῦτα ψηφιζόμεθα, τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν· ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. οὗπερ ἐν εἰρήνῃ φυλαττομένου, καὶ τὸ λοιπὸν ἡμῖν εὐθηνήσει πολίτευμα, τὴν ἄνωθεν ἔχον εἰρήνην. ἣν ἅπασιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός, ὁ τῆς τριάδος εἷς, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, κηρύττει τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις. Ἡ τοίνυν σὴ μακαριότης τὰ ὀρθῶς ἡμῖν παραστάντα φυλαττέτω τε καὶ εἰς ἔργον ἀγέτω, καταπέμπουσα αὐτὰ διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ᾽ αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπο-



Universidad Carlos III de Madrid. Biblioteca

λίταις. ὧν ἑκάστῳ γενήσεται φροντὶς ταῖς ὑπ' αὐτοὺς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις ταῦτα ποιῆσαι φανερά. ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τά τε τῇ ἀρχιερωσύνῃ δόξαντα, τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα. DAT. XVII. K. AVG. CONST. BILIS. V. C. CONS.

## Περὶ τῶν ἐργαστηρίων Κωνσταντινουπόλεως, ὥστε μόνα χίλια ἑκατὸν ἐργαστήρια τῆς μεγάλης ἐκκλησίας ἐξσκουσεύειν, καὶ τὰ λοιπὰ πάντα τὰς κατὰ συνήθειαν λειτουργίας τελεῖν, οἵας ἂν εἶεν δεσποτείας. Διάταξις μγ.

ΕΝ ΟΝΟΜΑΤΙ ΤΟΥ ΔΕΣΠΟΤΟΥ ΙΗΣΟΥ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανός, Ἀλαμανικός, Γοτθικός, Φραγγικός, Γερμανικός, Ἀντικός, Ἀλανικός, Βανδαλικός, Ἀφρικός, εὐσεβής, εὐτυχής, ἔνδοξος, νικητής, τροπαιοῦχος, ἀεισέβαστος, αὔγουστος, Λογγίνῳ ἐπάρχῳ τῆς πόλεως.

ΕΠΕΙΔΗ μέλει τῷ ἡμετέρῳ κράτει τῶν ἡμετέρων ὑπηκόων καὶ ζώντων καὶ τελευτώντων, τοῦ μηδὲ τὰς ταφὰς αὐτοῖς βαρείας εἶναι, μηδὲ ἐπιζημίους τοῖς ἐκ τῆς τοῦ τελευτήσαντος οἰκίας· διὰ τοῦτο καὶ τὰ περὶ τῆς ταφῆς αὐτῶν τὸν προσήκοντα διατεθείκαμεν τρόπον. καὶ ἐπειδὴ τοῦτο μὲν Κωνσταντῖνος ὁ τῆς θείας μνήμης, ὁ τῆς μεγάλης ἡμῶν ταύτης πόλεως οἰκιστής, τοῦτο δὲ Ἀναστάσιος, ὁ τῆς εὐσεβοῦς λήξεως, τὸν τῶν καλουμένων λεκτικαρίων, ἤτοι δεκανῶν, ἀριθμὸν περιέστησαν εἰς ἓν μέχρι, χιλίους ἑκατὸν εἶναι δεκανοὺς (ἤτοι ἐργαστήρια τοσαῦτα διαιρήσαντες, ἐφ' ᾧ τε ἐν μηδενὶ χρόνῳ ταῦτα δέχεσθαι προσθήκην· διὰ δὲ καὶ ὑποκεῖσθαι τῇ διατυπώσει τοῦ τῆς θείας μνήμης Ἀναστασίου τὸ μέχρι τῶν ἐξ ἑκάστου συστήματος εἶναι προσηκόντων λεκτικαρίων) ἡμεῖς μὲν ταῦτα βέβαια μένειν βουλόμεθα· προσελθόντες δὲ οἱ τῶν συστημάτων τῆς εὐδαίμονος ταύτης ἡμῶν καὶ βασιλίδος πόλεως, ὧν διαφερόντως ἡμῖν μέλει, τὸ ἡμέτερον ἐδίδασκον κράτος, μεγάλην τε οὐ φορητὴν ὑφίστασθαι τὴν ταραχήν. τῆς μὲν γὰρ ἁγιωτάτης μεγάλης ἐκκλησίας τὰ χίλια ἑκατὸν ἐργαστήρια καρποῦσθαι, τέλους παντὸς ἐλεύθερα· ἅπερ καὶ σφόδρα ἑκόντας ἑαυτοὺς διδόναι, διότι περὶ τὴν κοινὴν ἁπάντων ἀνθρώπων ὁσίαν τὸ πρᾶγμα πρόεισιν· οὐ μὴν καὶ τὰ λοιπὰ φέρειν ἄχθη δύνασθαι. πολλῶν γὰρ ἐργαστηρίων ὄντων κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν, ἐμπορείας τε καὶ πραγματείας διαφόρους, οὐ ταῦτα εἶναι μόνα, τὰ χίλια φαμὲν ἑκατὸν ἐργαστήρια, τὰ τῆς εἰρημένης ἐξαιρούμενα λειτουργίας, ἀλλὰ πολλὰς μὲν ἁγιωτάτας ἐκκλησίας, πολλοὺς δὲ εὐαγεῖς ξενῶνας καὶ μοναστήρια, καὶ ἑτέρους εὐαγεῖς οἴκους· καί τινας πρότερον αἱρετικοὺς ὄντας, εἶτα μεταστάντας εἰς τὴν ὀρθόδοξον πίστιν, πολλὰς δὲ βασιλικὰς οἰκίας, καὶ προσέτι γε καὶ ἀρχόντων καὶ συγκλητικῶν καὶ ἰλλουστρίων καὶ κουβικουλαρίων, ἐξαιρεῖσθαι τῶν τελῶν· καὶ τοὺς τούτων δεσπότας ἑαυτοῖς ἐντεῦθεν κατασκευάζειν πρόσοδον, καὶ τὸ κοινὸν ἀδικεῖν, τοῦ τῆς ἐξαιρέσεως πλήθους εἰς στενὸν τὸ πρᾶγμα συγκλείοντος. ὥστε ἐλαχίστους εἶναι τοὺς λειτουργοῦντας, ἤτοι τοὺς βαρουμένους τῇ λειτουργίᾳ, καὶ τὸ πρότερον τέλος πολλάκις τριπλάσιον καὶ τετραπλάσιον, ἤδη δὲ καὶ δεκαπλάσιον γίνεσθαι. καίτοιγε Ἀναστασίου τοῦ τῆς θείας λήξεως ἐν τῷ παρ' αὐτοῦ δοθέντι τύπῳ, μηδενὶ παντελῶς ἑτέρῳ δόντος ἀτέλειαν παρὰ τὰ χίλια ἑκατὸν ἐρ-

γαστήρια, τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ προφάσει τῆς τῶν τελευτώντων ὁσίας δεδομένα. Διὰ τοῦτο καὶ ἡμεῖς ᾠήθημεν ἐπιτρέψαι τοῖς ἡμετέροις ἄρχουσι, καὶ πρός γε αὐτῷ τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως, εἰς ἓν συνελθεῖν, καὶ τὸ πρᾶγμα ἐξετάσαι, καὶ εἰς ἡμᾶς ἀναγαγεῖν τὰ αὐτοῖς δόξαντα, καὶ τῷ παρόντι χρήσασθαι πρὸς τὴν σὴν ὑπεροχὴν νόμῳ· βεβαιοῦντες τὰ Ἀναστασίῳ τῷ τῆς εὐσεβοῦς λήξεως περὶ τούτου παραστάντα. καὶ θεσπίζομεν τὰ μὲν χίλια ἑκατὸν ἐργαστήρια πᾶσι τρόποις ἀμίαντα καὶ πάσης δόσεως καθαρὰ φυλάττεσθαι τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, προφάσει τῶν δεκανῶν, ἤτοι λεκτικαρίων, καὶ τῆς τῶν τελευτώντων ὁσίας ἀφωρισμένα· οὐδενὸς ἑτέρου παρ' αὐτῶν δεχόμενον ἀπαιτεῖν δυναμένου ἀπὸ αἱρετικῶν, ἢ ἄλλης οἱασοῦν ἁγιωτάτης ἐκκλησίας· ἀλλὰ τὸ ἔναγχος παρ' ἡμῶν διατεταγμένον κρατεῖν, ὥστε ὀκτακόσια μὲν ἐργαστήρια ἴσχειν τὰ σώματα, τριακόσια δὲ ἐν ἀπαργυρισμῷ καθεστάναι. ὃ γὰρ ἐντεῦθεν συνιὸν ἤδη θεῖος ἡμῶν πραγματικὸς διετύπωσε νόμος, εἰς ὃ προσῆκόν ἐστι προχωρεῖν, ἀντεισάγεσθαι δὲ ἀεὶ τὸ διαπίπτον. καὶ ὅ γε τρόπος καθ' ὃν ἔσται τὰ τῆς ἀντεισαγωγῆς, ὑπὸ τῆς Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς μνήμης διατετύπωται κελεύσεως. ταῦτα μὲν οὖν ἀτελῆ μένειν καὶ πάσης ἐξῃρημένα λειτουργίας, θεσπίζομεν, οὔτε αὐτῶν τῶν ἐργαστηρίων, οὐδὲ τῶν προεστώτων τοῦ συστήματος τῶν παρεχομένων αὐτά, τὴν οἱανοῦν ὑπομενόντων ζημίαν, ἤτοι τέλος ἐπιγινωσκόντων. τὰ μέντοι γε λοιπὰ πάντα ἐργαστήρια τῆς εὐδαίμονος ταύτης πόλεως τῶν δεκατεσσάρων κλιμάτων, εἴτε ἁγιωτάτης ἐκκλησίας εἶεν, εἴτε ξενώνων, εἴτε μοναστηρίων, εἴτε ὀρφανοτροφείων, εἴτε βρεφοτροφείων, εἴτε πτωχείων, εἴτε ἄλλης οἱασοῦν δεσποτείας, εἴτε τῶν βασιλικῶν οἴκων, εἴτε ἀρχόντων τινῶν, μεγάλας ἢ μέσας ἢ ἐλάττους ἀρχὰς ἐχόντων, εἴτε τῶν ἐνδοξοτάτων συγκλητικῶν, ἢ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων, ἢ τῶν περιβλέπτων κουβικουλαρίων, εἴτε τινῶν τῇ στρατείαις ἐγκαταλεγομένων· ταῦτα ἅπαντα τελεῖν τὰ ἐπικείμενα αὐτοῖς δημόσια τέλη, καὶ τὰ ἄλλα πάντα ποιεῖν τε καὶ πληροῦν, κατὰ τὸ προσῆκον ἑκάστῳ τοῦ οἰκείου αὐτοῦ συστήματος, καὶ καταβάλλεσθαι διὰ πάντων τῷ δημοσίῳ, διὰ τῶν προεστώτων τοῦ συστήματος, οὐδενὸς προνομίῳ ταύτης ἕνεκα τῆς αἰτίας ἐπερείδεσθαι δυναμένου, ἢ τοιαύτῃ τινὶ κεχρῆσθαι παραιτήσει. οὐδὲ γὰρ ὑπομένομεν τὸ ἑτέρων ἄχθος εἰς ἑτέρους φέρεσθαι, οὐδὲ οὕτως ἀπηνῆ κεῖσθαι διατυπώσει, ὥστε καθ' ἑκάστην αὔξεσθαι τὰ τέλη· καί, καθάπερ ἐδιδάχθημεν, τὰ τετραπλάσια, καὶ πενταπλάσια, καὶ δήπου καὶ δεκαπλάσια δίδοσθαι. διότι καὶ περισπούδαστόν ἐστι τῷ ἡμετέρῳ κράτει, μηδενὶ καινῷ τέλει μηδένα βαρύνεσθαι. καινὸν δὲ ἂν εἴη, οὐ τὸ νῦν πρῶτον ἐπιτεθειμένον μόνον, ἀλλὰ καὶ τὸ τὴν πρώτην συμμετρίαν ὑπερβαῖνον. ἀλλὰ πάντα ὑπὸ τὴν αὐτὴν ἔστω κατάστασίν τε καὶ τύχην, καὶ τὸ κοινὸν εἶναι κατὰ πάντων τὸν τοιοῦτον θεῖον ἡμῶν πραγματικὸν τύπον (ὃν δὴ καὶ νόμον καλεῖν ἔξεστιν) ὥστε πᾶσι τὸ ἄλυπον πεφιλοτιμῆσθαι· οὐ γὰρ ἄν τις περὶ τοῦτο δυσχεράνοι, μηδένα εἶναι τὸν ἐξαιρούμενον βλέπων, πλὴν δὴ οὐ τῆς ὁσίας τῶν τελευτώντων λόγου, τοῦ περὶ τῶν χιλίων ἑκατὸν ἐργαστηρίων. ὃς δὴ κοινότατός τε ἐστί, καὶ ἅπασιν ὁμοίως ἐφηπλωμένος ἀνθρώποις. εἰ δέ τις ἐπιχειρήσειε παραιτήσει τινὶ χρήσασθαι, καὶ ἑαυτὸν ἐλαφρύνειν τῆς συντελείας, καὶ ἢ μὴ συγχωρεῖν τοὺς ἐνοίκους ἀπαιτεῖσθαι παρ' ἑαυτοῦ, ἢ προστασίαν βούλεσθαι νέμειν, ἢ στρατιωτικήν, ἢ πολιτικήν, ἢ ἐκκλησιαστικήν, ἢ τὴν οἱανοῦν ἑτέραν· ἐκπιπτέτω καθάπαξ τῆς τοῦ ἐργαστηρίου δεσποτείας, καὶ ἔστω τοῦτο δημόσιον αὐτοῖς, τῷ συστήματι προσκυρούμενον. οὕτω γὰρ εὐλαβηθήσονται, καὶ τῶν κεκωλυμένων οὐ προσάψονται, ἀλλὰ τῷ κατὰ μικρὸν καὶ ἐφ' ἅπαντας ἡπλῶσθαι τὰ τέλη,



Universidad Carlos III de Madrid. Biblioteca

βραχὺ μὲν ἔσται τὸ παρ' ἑκάστου διδόμενον, μέτριον δὲ καὶ κοῦφον καὶ φορητόν, καὶ ῥᾷον συνεισφερόμενον, ὅσῳ παρὰ πλειόνων συλλέγεται. τί γὰρ ἀτοπώτερον ἂν εἴη, ἄνδρας ἐκ τῶν οἰκείων ἐργαζομένους χειρῶν, καὶ ἀποτρέφοντας γαμετάς τε καὶ παῖδας, καὶ τὴν ἄλλην τοῦ βίου διοίκησιν ἐντεῦθεν ἔχειν ἐπειγομένους, βαρύνειν μείζοσι τέλεσι, καὶ ὅσῳ πλείω τὰ τῶν ἐλαφρυνομένων γίνεσθαι, τοσούτῳ μείζω τὰ ἐκεῖθεν ἀποτελεῖσθαι πάθη; καὶ εἴη τι βάρος ἀόριστον, πέρας οὐδὲ ὁποιονοῦν ἔχειν δυνάμενον. Ταῦτα πάντα κωλύοντες, τόνδε τὸν θεῖον τίθεμεν πραγματικὸν τύπον, τήν τε τῆς ἐκπτώσεως ἀπειλοῦντες ποινὴν ἅπασιν ὁμοίως ἐφεξῆς τοῖς ὑπηκόοις, εἰ κωλύσαιεν τοὺς ἑκάστου συστήματος προεστῶτας τὰ νενομισμένα καὶ ἄνωθεν τεταγμένα τέλη λαμβάνειν, ἢ πειρᾶσθαι τὰ τέλη τρέπειν εἰς γερονόμια. ἀλλ' ἕκαστος ἀπολαυέτω μὲν τῆς τῶν γερονομίων εἰσφορᾶς, συγχωρείτω δὲ τὰ ἐργαστήρια λειτουργεῖν τὰ συνήθη τε καὶ νενομισμένα. ὥσπερ γὰρ ἕκαστος ἑαυτοῦ προνοεῖται, οὕτω καὶ ἡμᾶς ἀνάγκη τοῦ λυσιτελοῦς τε καὶ συμφέροντος τῆς μεγάλης ταύτης καὶ βασιλίδος ἀντιλαμβάνεσθαι πόλεως. οὐ γὰρ ἂν ἄλλως τὰ κοινῇ λυσιτελοῦντα προβαίη, μὴ τῆς τοιαύτης βαρύτητος ἀπαλλαττομένων τῶν μέχρι νῦν αὐτὴν φέρειν ἠναγκασμένων. Ἡ τοίνυν σὴ ἐνδοξότης τὰ παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ τύπου δηλούμενα, ἀπαράθραυστα φυλάξει, καὶ ὁ μετὰ σὲ τὴν ἀρχὴν παραληψόμενος, καὶ ἡ πειθομένη σοὶ τάξις νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον. DAT. XVI. K. IVN. CONSTANTINOP. POST BILIS. V. C. CONS. ANN. I.

## Περὶ τῶν συμβολαιογράφων, καὶ περὶ τοῦ τὰ πρωτόκολλα αὐτοὺς ἐᾶν ἐν τοῖς χάρταις. Διάταξις μδ.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡχῳ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΔΙΚΗΣ μικρῷ πρόσθεν ἠκροασάμεθα τὸν παρόντι νόμῳ παρασχομένης τὴν πρόφασιν. ἐκ γὰρ προσώπου γυναικός τινος ἐφέρετο συμβόλαιον, γράμματα μὲν αὐτῆς οὐκ ἔχον (ἦν γὰρ τούτων ἀνεπιστήμων) τελειωθὲν δὲ ὑπὸ συμβολαιογράφου, καὶ παρὰ τε ταβουλαρίου τὴν ὑπογραφὴν ἔχον τὴν αὐτῆς, καὶ μαρτύρων ἐπιδεικνύον παρουσίαν. εἶτα ἐπειδή τις ἀμφισβήτησις περὶ αὐτοῦ γέγονε, τῆς γυναικὸς λεγούσης οὐ ταῦτα εἶναι τὰ παρ' αὐτῆς ἐπιταχθέντα ἅπερ ὁ χάρτης ἔλεγεν, ὁ τὴν δίκην ἀκροώμενος ἐπεζήτει παρὰ τοῦ συμβολαιογράφου μαθεῖν τὴν τοῦ πράγματος ἀλήθειαν. καὶ δὴ τὸν συμβολαιογράφον ἦγαγεν· ὁ δὲ τὰ μὲν γράμματα ἐπιγινώσκειν ἔφη τῆς πληρώσεως τοῦ συμβολαίου, μὴ μὴν εἰδέναι τι τῶν παρακολουθησάντων. οὐδὲ γὰρ αὐτὸς τὴν ἀρχὴν ἐπιταγῆναι παντελῶς, ἀλλ' ἐπιτρέψαι τινὶ τῶν αὐτοῦ τοῦτο πρᾶξαι· οὔτε ὕστερον παραγενέσθαι τῇ πληρώσει, ἀλλ' αὖθις ἑτέρῳ τοῦτο ἐπιτετραφέναι. καὶ ὁ μὲν παραγενόμενος τῇ πληρώσει, ἦλθεν, οὐδὲν οὐδὲ αὐτὸς φήσας εἰδέναι (καὶ γὰρ οὐδὲ ὁ γράφων τὴν τοῦ συμβολαίου) ἀλλὰ μόνον ἐδίδαξεν ὅτι παρόντος μὲν αὐτοῦ τοῦτο ἀπολέλυται, οὐδὲ μὴν ὁ τὴν ἀρχὴν ἐπιταχθεὶς εὑρέθη. ὥστε εἰ μὴ διὰ τῶν μαρτύρων ὁ δικάζων ἴσχυσεν ἐπιστῆναι τῷ πράγματι, καθαρῶς ἐκινδύνευε τὸ διαπεσεῖν πανταχόθεν τὴν τοῦ πράγματος γνῶσιν. ἐκ δύο μὲν οὖν τῆς προσηκούσης ἔτυχεν ἐξετάσεώς τε καὶ κρίσεως. Ἡμεῖς δὲ ᾠήθημεν χρῆναι τῷ παντὶ βοηθῆσαι, καὶ κοινὸν ἐφ' ἅπασι ποιήσασθαι νόμον, ὥστε τοὺς προεστῶτας τῆς ἐργασίας συμβολαιογράφους, αὐτοὺς δι' ἑαυτῶν ἐκ

Universidad Carlos III de Madrid. Biblioteca

παντὸς τρόπου ἐπιτάττεσθαι τὸ συμβόλαιον, ἡνίκα τε ἀπολύοιτο παραγίνεσθαι· καὶ μὴ ἄλλως ἐπιτιθέναι τῷ χάρτῃ τὴν πλήρωσιν, πλὴν εἰ μὴ ταῦτα πραχθείη· ὥστε ἔχειν αὐτοὺς εἰδέναι τὴν ὑπόθεσιν, ἐρωτωμένους τε ὑπὸ τῶν δικαζόντων, δύνασθαι τὰ παρηκολουθηκότα γινώσκειν τε καὶ ἀποκρίνασθαι· καὶ μάλιστα ὅταν γραμμάτων εἶεν ἀνεπιστήμονες οἱ ταῦτα ἐπιτάττοντες, οἷς ῥᾳδία καθέστηκε καὶ ἀνεξέλεγκτος ἡ τῶν ταῖς ἀληθείαις παρηκολουθηκότων ἄρνησις. Ἵνα τοίνυν ἅπαντα ταῦτα κωλύσωμεν, διὰ τοῦτο τὸν παρόντα γράφομεν νόμον, καὶ ταῦτα παραφυλάττεσθαι πάντως βουλόμεθα παρὰ τῶν συμβολαιογράφων, εἴτε ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως, εἴτε ἐν ἐπαρχίαις εἶεν· γινωσκόντων ὡς εἰ παρὰ ταῦτά τι πράξαιεν, ἐκπεσοῦνται πάντως τῶν καλουμένων στατιώνων, καὶ ὁ πρὸ αὐτῶν σταλεὶς ἐφ᾽ ᾧτε ἐπιταγῆναι τὸ συμβόλαιον, καὶ παραλυόμενος, αὐτὸς κύριος τῆς ἐπὶ τῆς στατίωνος αὐθεντίας ἔσται. καὶ μεταβληθήσεται τὸ πρᾶγμα· καὶ ὁ μὲν τὸ λοιπὸν ταύτην ἐφεξῆς τὴν τάξιν ἐν τῇ στατίωνι ὁποίαν ὁ κατ᾽ αὐτὴν προσεδρεύων εἶχεν· ὁ δέ γε ἐκπεσεῖται ταύτης, ἢ εἷς ἔσται τῶν ὑπογραφέντων ἐκείνῳ. ἐπειδὴ γὰρ ὁ μὲν ἀπηξίωσε τοῦτο πράττειν ὅπερ ἦν ἐφειμένον αὐτῷ, ὁ δὲ κατὰ τὴν ἐκείνου γνώμην τοῦτο ἔπραξε, διὰ τοῦτο καὶ ἡμεῖς ταύτην ἐπάγομεν αὐτοῖς τὴν ποινήν, ἵνα διὰ τούτου γίνωνται περὶ τὰ συμβόλαια δίκαιοί τε καὶ ἀσφαλέστεροι, καὶ μὴ διὰ τὴν ἑαυτῶν ἄνεσίν τε καὶ τρυφὴν τοὺς ἀλλοτρίους διαφθείρωσι βίους. Εἰ δὲ οὐκ ἄξιος τυχὸν εἴη τοῦ τὴν ἐξουσίαν τῆς στατίωνος παραλαβεῖν ὁ τὸ συμβόλαιον παρὰ τὰ ὑφ᾽ ἡμῶν διατεταγμένα μετὰ τὸν παρόντα νόμον ἐπιταττόμενος, ὁ μὲν συμβολαιογράφος ἐκπιπτέτω τρόποις ἅπασι τούτου, ἕτερος δὲ ἀντ᾽ αὐτοῦ προβαλλέσθω· οὐδὲν ζημιουμένου παντελῶς ἐνθένδε τοῦ τῆς στατίωνος κυρίου (εἴ τις εἴη τῶν ἔξωθεν, ἀλλὰ μὴ συμβολαιογράφος αὐτός) οὐδὲ ἐκπίπτοντος τῶν ἐκεῖθεν πόρων· ἀλλ᾽ αὐτοῦ μόνου τοῦ τὰ τοιαῦτα κομψευσαμένου, καὶ ἀπαξιώσαντος τὴν ἑαυτοῦ πληροῦν ἐργασίαν, τῆς προστασίας ἐκπίπτοντος· πάντων μέντοι τῶν ἄλλων τῶν ἐπὶ τῇ στατίωνι δικαίων, ἀκεραίων τοῖς κυρίοις αὐτῆς παρὰ τοῖς τὰ τοιαῦτα πλαισαμένοις συμβολαιογράφοις φυλαττομένων. Καὶ μὴ πλαττέτωσαν οἱ συμβολαιογράφοι προφάσεις, εἰς νόσους τυχὸν ἀναχωροῦντες ἢ εἰς ἀσχολίας τοιαύτας. ἔξεστι γὰρ αὐτοῖς, εἴ τι τοιοῦτον εἴη, μεταπέμψασθαι τοὺς ἐπιτάττοντας, καὶ δι᾽ ἑαυτῶν τὸ πρᾶγμα πληρῶσαι. ἄλλως τε ταῦτα δὴ τὰ συμβαίνοντα ἀνθρωπίνως οὐκ ἂν ἐμποδὼν σταίη τοῖς καθόλου· διότι μηδὲν ἐν ἀνθρώποις οὕτως ἐστὶν ἀναμφισβήτητον, ὡς μὴ δύνασθαι, κἂν εἴ τι τῶν σφόδρα εἴη δικαιοτάτων, ὅμως δέξασθαί τινα μεμεριμνημένην ἀμφισβήτησιν. Ἀλλὰ μηδὲ τοὺς πόρους αὐτοῖς ἐλάττους γίνεσθαι κατὰ τοῦτο, διὰ τὴν τῶν ἐπιταττόντων συνέχειαν, προφασιζέσθωσαν· κάλλιον ὂν ὀλίγα πράττειν ἀσφαλῶς, ἢ πολλοῖς ἐπεμβαίνειν ἐπικινδύνως. Ἵνα δὲ ὅμως μὴ σφόδρα αὐτοῖς ἀπηνὴς ὁ νόμος εἶναι δόξειεν, ἡμεῖς ἐστοχασμένοι τῆς ἀνθρωπίνης φύσεως, συμμέτρους αὐτῇ καὶ τοὺς νόμους τοὺς ἡμετέρους τίθεμεν. διὰ γὰρ τὰς τοιαύτας αὐτῶν ἴσως ἀμφισβητήσεις, δίδομεν αὐτοῖς ἄδειαν, ἑκάστῳ ἕνα ἐπὶ τούτῳ προβάλλεσθαι ἐν ὑπομνήμασι, παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων τῆς εὐδαίμονος ταύτης πόλεως κατὰ τὸ συνήθες παρατιθεμένοις· καὶ ἄδειαν αὐτῷ διδόναι ἐπιτάττεσθαι παρὰ τῶν συμβαλλόντων ἐν τῇ καθ᾽ αὐτὸν στατίωνι τὰ συμβόλαια, καὶ ἀπολυομένοις αὐτὸν παραγίνεσθαι· καὶ μηδενὶ παντελῶς ἑτέρῳ τῶν ἐπὶ τῆς στατίωνος ὄντων ἄδειαν εἶναι ἢ ἐπιτάττεσθαι τὴν ἀρχήν, ἢ ἀπολυομένοις παραγίνεσθαι, πλὴν ἢ ἀπὸ τοῦ συμβολαιογράφου τοῦ τὴν αὐθεντίαν ἔχοντος, ἢ τοῦ παρ᾽ αὐτοῦ ἐπὶ τούτῳ προβληθέντος. εἰ δέ τι παρὰ ταῦτα γένοιτο, καὶ ἕτερος ἐπιτα-



Universidad Carlos III de Madrid. Biblioteca

χθείη, τηνικαῦτα ὑποπιπτέτω τῇ ποινῇ ὁ συμβολαιογράφος ὁ τὴν αὐθεντίαν ἔχων, τῇ παρ' ἡμῶν ἔμπροσθεν διωρισμένῃ· αὐτῶν μέντοι τῶν συμβολαίων διὰ τὸ χρήσιμον τῶν συμβαλλόντων, οὐκ ἀκυρουμένων. ἴσμεν γὰρ ὡς δεῖ τοὺς νόμους τὸ λοιπὸν αὐτοὺς τε φυλάξουσι τὰ παρ' ἡμῶν θεσπισθέντα, τά συμβόλαιά τε ἐν ἀσφαλεῖ κεῖσθαι). Ἐκεῖνο μέντοι τῷ παρόντι προστίθεμεν νόμῳ, ὥστε τοὺς συμβολαιογράφοις μὴ εἰς ἕτερον χάρτην καθαρὸν γράφειν συμβόλαιον, πλὴν εἰ μὴ εἰς ἐκεῖνον ὃς προκείμενον τὸ καλούμενον πρωτόκολλον ἔχοι, φέρον τὴν τοῦ κατὰ καιρὸν ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν largitionων προσηγορείαν, καὶ τὸν χρόνον καθ' ὃν ὁ χάρτης γέγονε, καὶ ὁπόσα ἐπὶ τῶν τοιούτων προγράφεται. καὶ τοῦτο τὸ πρωτόκολλον μὴ ἀποτέμνειν, ἀλλ' ἐγκείμενον ἐᾶν. ἴσμεν γὰρ πολλὰς παραποιήσεις ἐκ τῶν τοιούτων χαρτῶν ἐλεγχθείσας πρότερόν τε καὶ νῦν. ὥστε κἂν εἴ τις εἴη χάρτης (καὶ γὰρ δὴ καὶ τοῦτο εἰδόμεν) ἔχων τὸ πρωτόκολλον οὐχ οὕτω καταγεγραμμένον, ἀλλὰ ἄλλην τινὰ γραφὴν ἔχον, μηδὲ ἐκεῖνον προσίεσθαι, ὡς κίβδηλόν τε καὶ πρὸς τὰ τοιαῦτα οὐκ ἐπιτήδειον· ἀλλὰ μόνῳ τῷ τοιούτῳ χάρτῃ, ὁποῖον ἔμπροσθεν εἰρήκαμεν, τὰ συμβόλαια ἐγγραφέτωσαν. Ταῦτα δὲ τὰ περὶ τῆς ποιότητος τῶν χαρτῶν ἡμῖν διωρισμένα, καὶ τῆς ἀποτομῆς τῶν καλουμένων πρωτοκόλλων, κρατεῖν ἐπὶ τῆς εὐδαίμονος ταύτης πόλεως μόνον βουλόμεθα, ἔνθα πολὺ μέν τὸ τῶν συναλλαγμάτων πλῆθός ἐστι, πολλὴ δὲ ἡ τῶν χαρτῶν ἀφθονία. καὶ πάρεστι τῷ νενομισμένῳ τρόπῳ τοῖς πράγμασι χρῆσθαι, καὶ μὴ διδόναι πρόφασιν τισὶ παραποίησιν ἁμαρτάνειν, ἧς ἑαυτοὺς ὑπευθύνους ὄντας ἀποδείξουσιν, εἴ τι παρὰ ταῦτα πρᾶξαι θαρρήσειαν. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. DAT. XVI. K. SEPT. CONSTANTINOP. POST BILIS. V. C. CONS. ANN. SECVNDO.

## Περὶ τοῦ μὴ ἐλευθεροῦσθαι βουλευτικῆς τύχης Ἰουδαίους τε καὶ Σαμαρείτας, ἢ αἱρετικούς, προφάσει τῆς αὐτῶν θρησκείας· ἀλλὰ τοῖς μὲν βουλευτικοῖς λειτουργήμασιν ὑποκεῖσθαι, τῶν δὲ προνομιῶν αὐτῶν μὴ ἀπολαύειν. δύνασθαι δὲ αὐτοὺς κατὰ ὀρθοδόξων ὡς ὑποκειμένων βουλευτικῇ τύχῃ μαρτυρεῖν, οἷα δὴ καὶ ὑπὲρ ὀρθοδόξου τῆς πολιτείας καλῶς μαρτυροῦντας. Διάταξις με.

### Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

ΡΗΜΑ τι πρὸς ἡμᾶς ἔναγχος ἡ σὴ μεμήνυκεν ὑπεροχή, τινὰς ἐν τοῖς βουλευταῖς εἶναι Ἰουδαίους τυχὸν ἢ Σαμαρείτας, ἢ Μοντανιστάς, ἢ ἄλλως καταπίστοις ἀνθρώποις, οἷς οὔπω ἔστι νῦν ἡ ὀρθὴ καὶ ἀμώμητος ἡμῶν κατελάμψε πίστις, ἀλλ' ἐν σκότει καθεῖνται, τὰς ψυχὰς τῶν ἀληθῶν οὐκ αἰσθόμενοι μυστηρίων· ἔστι ἐπειδὴ περ αἱρετικοὺς μισοῦμεν, οἴονται κατὰ ταύτην τὴν πρόφασιν ἐλεύθεροι βουλευτικῶν εἶναι λειτουργημάτων, καὶ ὡς προσήκει τὰ περὶ τούτων διακριθῆναι. ἡμεῖς τοίνυν ἐθαυμάσαμεν εἴπερ ἡ σύνεσίς τε καὶ ὀξύτης ἡ σὴ τοῖς τοιούτοις αὐτῶν ὑπέμεινε λόγοις, ἀλλὰ

μὴ παραχρῆμα τοὺς τὰ τοιαῦτα λέγοντας διέσπασεν. εἰ γὰρ ἄνθρωποί τινες εἰσίν, οἵπερ οἴονται διὰ τῆς εἰς ἔσχατον ἀτοπίας, ἐκείνων ἀξιοῦσθαι τῶν γερῶν ἅπερ μόνοις τοῖς μεγίστοις ἀξιώμασιν ἐφυλάξαμεν, τίς οὐκ ἂν αὐτῶν μισήσειε τὴν ἀθλιότητά τε καὶ ἄνοιαν; ὥστε βουλευέτωσαν ἡμῖν οἱ τοιοῦτοι πάντες, καὶ μάλα οἰμώζοντες, καὶ ταῖς βουλευτικαῖς ὑποκείσθωσαν λειτουργίαις, ὥσπερ καὶ ταῖς ταξεωτικαῖς, καθὰ προνενομοθέτηται· καὶ μηδεμία θρησκεία τῆς τοιαύτης αὐτοὺς ἐξαιρείτω τύχης (οὕτω γὰρ οὐδὲν τῶν παλαιῶν τινὶ νόμων οὐδὲ τῶν νέων εἴρηται) ἀνάξιοι μέντοι βουλευτικῆς ἁπάσης ἔστωσαν τιμῆς. καὶ ἐπειδήπερ οἱ νόμοι πολλὰ διδόασι τοῖς βουλευταῖς προνόμια, περί τε τοῦ μὴ τύπτεσθαι, περί τε τοῦ μὴ παρίστασθαι, μήτε εἰς ἑτέραν ἄγεσθαι χώραν, καὶ ἕτερα μυρία, τούτων ἀπολαυέτωσαν μηδενός· ἀλλ' εἴ τι μὲν γέγραπται περὶ βουλευτῶν, οὐ χαριζομένων αὐτοῖς προνομίων, τοῦτο καὶ ἐπ' αὐτοῖς κρατείτω, καὶ πληρούτωσαν σωματικάς τε καὶ χρηματικὰς λειτουργίας, καὶ μηδεὶς τούτων αὐτοὺς ἐξαρπαζέτω νόμος· τιμῆς δὲ ἀπολαυέτωσαν μηδεμιᾶς, ἀλλ' ἔστωσαν ἐν ἀτιμίᾳ τὴν τύχην, ἐν οἵᾳ καὶ τὴν ψυχὴν ἠβουλήθησαν εἶναι. οὕτω τοίνυν αὐτοῖς περὶ τούτου διατετάχθω. Κἀκεῖνο μέντοιγε προσήγγειλας ἡμῖν ἄξιόν σοι ζητήσεως γινόμενον. ὅπερ γὰρ αἱρετικοὺς μαρτυρεῖν εἴρξαμεν ἐφ' ὧν ὀρθόδοξοι πρὸς ἀλλήλους δικάζονται, διδόντες αὐτοῖς, κατὰ τὴν ἡμετέραν διάταξιν, εἰ μὲν ἐν ἀλλήλοις φύροιντό τε ἐκεῖνοι καὶ δικάζοιντο, καὶ ἑκάτερος αἱρετικὸς εἴη ὅ,τε ἐνάγων ὅ,τε ἐναγόμενος, δύνασθαι μαρτυρεῖν, ἀξίων ἀλλήλοις ὄντων καὶ τῶν δικαζομένων καὶ τῶν μαρτυρούντων· εἰ δὲ αὖθις αἱρετικός τε εἴη καὶ ὀρθόδοξος, κατὰ μὲν αἱρετικῶν καὶ σφόδρα δύνασθαι μαρτυρεῖν ὑπὲρ ὀρθοδόξων, κατὰ ὀρθοδόξων οὐκ ἔτι. ὀρθοδόξων δὲ ὄντων τῶν δικαζομένων, μηδεμίαν εἶναι παντελῶς πάροδον αὐτοῖς εἰς μαρτυρίαν. ἐδίδαξας τοίνυν ἡμᾶς ὡς τινὲς ὀρθόδοξοι καθεστῶτες ἀρνοῦνται βουλευτικῆς εἶναι τύχης, καὶ ἀνάγκη παρελθεῖν εἰς μαρτυρίαν τοὺς ἐκ τοῦ γένους συνημμένους αὐτοῖς, ἢ καὶ ἄλλως πως ἐπισταμένους αὐτῶν τὴν τύχην. καὶ ἐπειδήπερ ὁ νόμος εἴργει τὰς ἐπ' ὀρθοδόξοις μαρτυρίας τῶν αἱρετικῶν, διὰ τοῦτο τοὺς δικαστὰς ὀκνεῖν ταύτας προσίεσθαι. καίτοιγε μάταιον δεδοίκασι δέος οἱ τὰς τοιαύτας παραιτούμενοι δέχεσθαι μαρτυρίας. πρῶτον μὲν γὰρ ὑπὲρ ὀρθοδόξων γίνονται (τοῦτο δὲ οἵγε νόμοι πράττειν τοὺς αἱρετικοὺς οὐ κωλύουσιν) ἔπειτα εἰ τοὺς ὄντας βουλευτὰς εἶτα πρὸς τὴν τύχην ἀνανεύοντας, ἕλκει τις εἰς βουλήν, καὶ τοὺς αἱρετικοὺς εἰς μαρτυρίαν καλεῖ, πῶς οὐ τοῦτο ὑπὲρ τῆς ἡμετέρας πράττει πολιτείας; ὥστε εἶναι τὴν μὲν πολιτείαν τὴν δικαζομένην, ὀρθοδοξοῦσαν, καὶ μάλιστα ἐξ οὗπερ ἡμᾶς αὐτῆς δέδωκεν ὁ θεὸς βασιλεύειν· τοὺς δὲ ὑπὲρ τούτου μαρτυροῦντας, ὑπὲρ ὀρθοδόξων ποιεῖσθαι μαρτυρίαν. τὸ γὰρ πολίτευμα τὸ ἡμέτερον ὀρθόν τε ἐστί, καὶ ἤδη μετὰ τῆς ὀρθοδόξου πίστεως, πάσης αἱρέσεως ἄλλης εἰκότως μεμισημένης. Καὶ τοῦτο τοίνυν ἡ σὴ ὑπεροχὴ διαφυλαττέτω, τόν τε ἡμέτερον γινώσκουσα νόμον, καὶ τὸ τῇ πολιτείᾳ συμφέρον μνηστεύουσα, καὶ ἐπισταμένη διὰ πάντων ὡς ἐκεῖνα ἡμῖν καὶ πράττειν καὶ νομοθετεῖν διεσπούδασται ὁπόσα τὴν ἡμετέραν ὠφελεῖ πολιτείαν. DAT. XV. K. SEPT. CONSTANTINOP. POST BILIS. V. C. CONS.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τῆς τῶν ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων ἐκποιήσεως καὶ καταβολῆς, δίχα τῶν ἐν Κωνσταντινουπόλει. Διάταξις μϛ.

### Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

Καὶ τὸ περὶ τοὺς νόμους σπούδασμα καὶ τἆλλα πάντα ἡμῖν διὰ τοῦτο καθ' ἑκάστην ἐκπονεῖται, ἵνα τὸ συμφέρον τοῖς ἡμετέροις ὑπηκόοις ἐξευρίσκοιμεν, τὸ μὲν ἐκκεχυμένον καὶ ἀμέτρον παύοντες, τὸ δὲ ἄριστόν τε καὶ μεμετρημένον ἀντεισφέροντες. καὶ πολλὰ ἐξεπίτηδες, διὰ τὴν ἔμπροσθεν ἀμετρίαν, καὶ πέρα τοῦ μετρίου τὸν νόμον περιεσφίγξαμεν, ἵνα τὸ πρόσθεν ἐπιῤῥέον στείλαντες, οὕτω τὴν ἰσότητα τὸ λοιπὸν εἰσαγάγωμεν. Ἔναγχος τοίνυν ἐγράψαμεν νόμον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἁπάσαις, μοναστηρίοις τε καὶ λοιποῖς εὐαγέσιν οἴκοις, μηδεμίαν αὐτοῖς εἶναι πραγμάτων ἀκινήτων ἐκποιήσεως ἄδειαν. ἑωρῶμεν γὰρ τὸ πρᾶγμα ἐκκεχυμένον, καὶ κατὰ μικρὸν εἰς ἑτέρους τὰς ἐκκλησιαστικὰς μεταβαινούσας κτήσεις, οὐδὲ τιμημάτων ἀξίων καταβαλλομένων, οὐδὲ χρείας ἀπαραιτήτου κατεπειγούσης ἐκποιουμένων· ἀλλὰ καὶ κατὰ τῶν ἤδη τεθειμένων νόμων μυρίας περιγραφὰς γινομένας. ὥστε τὴν πρόφασιν ἀνελόντες ὅλην, πᾶσιν ὁμοίως ἄβατον τὴν κατ' αὐτῶν ἐποιησάμεθα περιγραφήν. Ἀλλ' ἐντεῦθεν κατὰ τὸ πλεῖστον μὲν αἱ τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἄλλων εὐαγῶν οἴκων ὠφελοῦνται κτήσεις, οὐδενὸς ταύτας ἐλαττοῦν θαρροῦντος· ἀπήντησε δὲ ὅμως τι καὶ δύσκολον. δημοσιεύματα γὰρ ἢ πόῤῥωθεν συστάντα, ἢ καὶ ὕστερον ἔκ τινος ἀνάγκης, καὶ μάλιστα κατὰ δημοσίας προφάσεις, αὖθις ἐπισυμβάντα, εἰς ἐκποιήσεως ἀνάγκην τοὺς ἱεροὺς ἀνάγει οἴκους. κινητῆς γὰρ οὐχ ὑπούσης περιουσίας αὐτάρκους, ἐκινδύνευον εἰς ἐσχάτην ἐλθεῖν ἀνάγκην οἱ τούτων προεστῶτες, οὔτε ἀποδοῦναι δυνάμενοι, οὔτε ὅθεν τὰ ὀφλήματα λύσαιεν ἰσχύοντες. ἀλλὰ τὸ μὲν ἀντὶ τῶν ὀφλημάτων δύνασθαι ἀντὶ καταβολῆς τοῖς δημευσταῖς διδόναι κτήσεις ἐκκλησιαστικὰς (μετὰ μέντοι τῆς προσηκούσης ἀκριβείας καὶ παρατηρήσεως γινομένης τῆς καταβολῆς) ἤδη πολλάκις ἐπετρέψαμεν, ὡς οὐδὲ σαφῶς τοῦτο τῷ ἡμετέρῳ προτέρῳ ἀνελόντες νόμῳ. εἰ δὲ οὐκ ἰδιωτικός τις ἐστὶ δημευστής, ἀλλ' ἐπίκειται τὸ δημόσιον, καὶ ἀπαιτοίη τὰ ὀφλήματα, ἔστι δὲ ἀπορία χρημάτων, λαβεῖν δὲ ἀκίνητον κτῆσιν οὐ δυνατὸν τὸ δημόσιον, ἐνταῦθα χαλάσαι τι τῆς ἀκριβείας τοῦ νόμου προσήκειν ἡγησάμεθα, καὶ εἴ τις ἀνάγκη τοιαύτη γένοιτο, καὶ ἐκποίησιν ἐφεῖναι συνείδομεν. Θεσπίζομεν τοίνυν, εἴπερ τῶν ἁγιωτάτων τις ἐκκλησιῶν ἢ τῶν λοιπῶν σεβασμίων οἴκων δημοσίοις ὀφείλει φόροις, καὶ ὅθεν ποιήσοιτο τὴν τούτων ἀπόδοσιν οὐκ ἔχοι, συνιέναι πάντας εἰς ταυτὸν, τούς τε ἐκ τοῦ κλήρου, τόν τε θεοφιλέστατον ἐπίσκοπον αὐτῆς τε τῆς πόλεως, καὶ πρός γε τὸν τῆς μητροπόλεως, καὶ τῶν θείων προκειμένων λογίων τὸ πρᾶγμα ἐξετάζεσθαι, καὶ εἰ μὴ φανείη μηδὲ εἷς πόρος ἐκποιήσεως χωρὶς δυνάμενος λῦσαι τὸ δημόσιον ὄφλημα, τηνικαῦτα ἄδειαν αὐτοῖς εἶναι (ψήφου τοιαύτης προϊούσης, καὶ δεκρέτου γινομένου παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι) καὶ κτήσεων ἀκινήτων ἀπαλλάττεσθαι, καὶ ταύτας ἐκποιεῖν εἰς λύσιν τοῦ ὀφλήματος· τῶν μὲν ὠνουμένων, ἐπὶ τὸ δημόσιον καταβαλλόντων, καὶ τὰς ἀποδείξεις ἐκεῖθεν λαμβανόντων, καὶ ὑπεισιόντων τὸ δημόσιον ὄφλημα, καὶ τὴν ἀσφάλειαν ἐκεῖθεν ἐχόντων, καὶ οὐδὲν δεδιότων τὸν ἔμπροσθεν τεθέντα νόμον παρ' ἡμῶν· τῶν δὲ τὴν

Universidad Carlos III de Madrid. Biblioteca

προφάσει ποιουμένων, ἀνυπευθύνων, τό γε πρὸς τὸν νόμον, καθεστώτων· τῶν τε δημοσίων ἀποδείξεων ἐμφανῶν ἐν ὑπομνήμασι γινομένων, καὶ κατατιθεμένων τῶν πεποιηκότων αὐτάς· ἵνα καὶ παρὰ ταῖς ἁγιωτάταις ἐκκλησίαις σώζοιτο προφανὴς ἀπόδειξις τοῦ καὶ τοὺς δημοσίους καταβεβλῆσθαι φόρους, καὶ τοῦ πάντα κατὰ τὸν ἡμέτερον πεπρᾶχθαι νόμον. οὐ δυναμένων τινῶν πλατεῖν δημόσιον ὄφλημα, καὶ οὕτως ἐπὶ τὰς ἐκποιήσεις τῶν ἀκινήτων χωρεῖν. διὰ τοῦτο γὰρ καὶ τὴν τοῦ δεκρέτου ποίησιν ἐπετρέψαμεν, ἵνα καὶ τὸ δημόσιον ὄφλημα μαρτυρῆται, καὶ ἐκ πόσων κάτεισι χρόνων, καὶ ὅπως οὐκ ἐκ χρημάτων ἐλύθη, ἀλλ' εἰς ἀνάγκην ἐκποιήσεως ἦλθεν· ὅπως ἂν τὰ τῆς ἀληθείας πανταχόθεν μαρτυροῖτο, πάντων ἐπὶ τῶν θείων εὐαγγελίων πραττομένων. εἰδότων τῶν τε ἐπισκόπων, τῶν τε κληρικῶν, καὶ πρός γε τῶν ἄλλων ἁπάντων, ὡς θεὸς ἐπόψεται τὰ γινόμενα παρ' αὐτῶν, καὶ εἴ τι πράξαιεν κατὰ δόλον, ἢ κέρδος, ἢ μηχανὴν, τοῦτο ἐν ταῖς ἑαυτῶν ἀπολήψονται ψυχαῖς, ζῶντές τε καὶ τελευτῶντες. εἰ μὲν οὖν ἰδιώτης τις ὀφειλόμενος εἴη, δυνάσθω, κατὰ τὸ pro soluto σχῆμα, λαμβάνειν ἀκινήτους κτήσεις, κἂν ταῦτα δεκρέτου γινομένου, καὶ πρὸς τὸ μέτρον τῶν ταῖς ἀληθείαις ὀφειλομένων αὐτῷ, προσκυρουμένων αὐτοῖς τῶν κτήσεων. εἰ δὲ ὄφλημα δημόσιον εἴη, δυναμένων αὐτῶν εἰς ἐκποίησιν ἀκινήτων χωρεῖν, κατὰ τὴν ἔμπροσθεν παρατήρησιν, ὥστε μηδὲν ἐλλεῖψαι μηδὲ τῆς ἀκριβείας, μηδὲ τῆς κοινῆς λυσιτελείας. Τούτων δὲ ἁπάντων τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ τὴν αὐτῆς περιοικίδα, καὶ τοὺς εὐκτηρίους οἴκους (ὧν αὕτη τὴν φροντίδα ἀναδέδεκται) πᾶσιν ἐξαιρουμένων τρόποις, τῶν ἤδη περὶ τούτου νενομοθετημένων παρ' ἡμῶν, ἐπὶ τῆς οἰκείας μενόντων ἰσχύος. εἰ δὲ καί τινα μοναστήρια ὑπ' αὐτὴν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν εἴη, οὐδὲ ταῦτα ὑπὸ τὸν παρόντα ποιούμεθα νόμον, ταῖς ἔξω χώραις αὐτὸν ἐφιστάντες μόνον, ἐν αἷς πολλή τίς ἐστιν ἀπορία χρημάτων, καθ' ἣν αἱ ἁγιώταται ἐκκλησίαι λῦσαι διὰ χρημάτων τὰ ὀφλήματα οὐκ ἂν δυνηθεῖεν. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν γινώσκουσα, κατὰ τοῦτο προϊέναι τὰς ἐπὶ τοῖς ἱεροῖς πράγμασιν ἐκποιήσεις παραφυλαττέτω.

DAT. XV. K. SEPT. CONSTANTINOP. POST BILIS. V. C. CONS.

## Περὶ τοῦ προτάττεσθαι τὸ τοῦ βασιλέως ὄνομα ἐν τοῖς συμβολαίοις καὶ ὑπομνήμασι, καὶ ὥστε διὰ τῶν Ῥωμαϊκῶν γραμμάτων σημαινομένοις τοῖς χρόνοις σαφέστερον γράφεσθαι. Διάτ. μζ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡχῳ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΕΚΕΙΝΟ πάντων ἐστὶ σεμνότατον καὶ συμβόλαιον καὶ ὑπόμνημα, καὶ εἴ τι περ ὅλως εἰς χρόνου μνήμην ἀνθρώποις ἐξεύρηται, νομιστέον, ὅπερ καὶ αὐτῇ κοσμεῖται τῇ τῆς βασιλείας μνήμῃ. ὕπατοι μὲν γὰρ, καὶ ἐπινεμήσεις, καὶ εἴ τι περ δεῖγμα τῶν χρόνων ὅλως ἐστὶ παρ' ἡμῖν, ἔστι μὲν ἴσως καὶ αὐτὰ δηλωτικὰ τούτων ὧν βούλεταί τις· οὐ μὴν ἡμεῖς τι τούτων ἀναιροῦμεν, ἀλλὰ μείζονα προσθήκην αὐτοῖς ἐπιτίθεμεν, ἵνα ἐκ μειζόνων τε καὶ τελεωτέρων αὐτοῖς ὁ τῶν χρόνων δηλοῦται δρόμος. εἰ γάρ τις ἀπίδοι πρὸς τὰ παλαιότατα πάντων καὶ ἀρχαῖα τοῦ πολιτεύματος, Αἰ-

Universidad Carlos III de Madrid. Biblioteca

νείας ἡμῖν ὁ Τρὼς ὁ βασιλεὺς τῆς πολιτείας ἐξάρχει, Αἰνειάδαι τε ἡμεῖς ἐξ ἐκείνου καλούμεθα. εἴτε τις καὶ εἰς τὰς δευτέρας ἀρχὰς θεωρήσειε, τὰς ἐξ οὗ καθαρῶς τὸ Ῥωμαϊκὸν ὄνομα παρ᾽ ἀνθρώποις ἐξέλαμψε· βασιλεῖς αὐτὰς κατεστήσαντο, Ῥωμύλος τε καὶ Νουμᾶς, ὁ μὲν τὴν πόλιν οἰκοδομήσας, ὁ δὲ αὐτὴν νόμοις τάξας τε καὶ κατακοσμήσας. εἴτε καὶ τὰ τρίτα προοίμια λάβοι τις τῆς βασιλείας, τὸν Καίσαρα τὸν μέγαν καὶ Αὔγουστον τὸν σεβαστόν· καὶ οὕτω τὴν πολιτείαν ἡμῖν ἐξευρήσει τὴν νῦν δὴ ταύτην κρατοῦσαν (εἴη δὲ ἀθάνατος) ἐξ ἐκείνων προϊοῦσαν. ἔστιν οὖν ἄτοπον, ἐν τοῖς συμβολαίοις καὶ τοῖς ἐν δικαστηρίοις πραττομένοις, καὶ ἁπλῶς ἐν ἅπασιν ἐν οἷς μνήμη τις γίνεται χρόνου, μὴ τὴν βασιλείαν ἡγεῖσθαι τούτων. Ὅθεν θεσπίζομεν, τούς τε ὅσοι τοῖς πραττομένοις ὑπηρετοῦνται, εἴτε ἐν δικαστηρίοις, εἴτε ἔνθα ἂν συνίστανται πράξεις, τούς τε συμβολαιογράφους, καὶ τοὺς ὅλως καθ᾽ οἱονδήποτε σχῆμα συμβόλαια γράφοντας (εἴτε ἐπὶ ταύτης τῆς μεγάλης πόλεως, εἴτε ἐν τοῖς ἄλλοις ἔθνεσιν ὧν ἡμῖν ἐξάρχειν δέδωκεν ὁ θεὸς) οὕτω πως ἄρχεσθαι τῶν συμβολαίων, Βασιλείας τοῦδε τοῦ θειοτάτου αὐγούστου καὶ αὐτοκράτορος ἔτους τοσοῦδε· καὶ μετ᾽ ἐκεῖνα ἐπιφέρειν τὴν τοῦ ὑπάτου προσηγορίαν τοῦ κατ᾽ ἐκεῖνο τὸ ἔτος ὄντος, καὶ τρίτην τὴν ἐπινέμησιν, προεπομένου τοῦ μηνὸς, καὶ τῆς ἡμέρας. οὕτω γὰρ ἂν διὰ πάντων ὁ χρόνος τηροῖτο, καὶ ἥτε τῆς βασιλείας μνήμη, ἥτε τῆς ὑπατείας τάξις, ἥτε λοιπὴ παρατήρησις ἐγκειμένη τοῖς συμβολαίοις, δεύτερα ταῦτα κατὰ πολὺ καταστήσει. Εἰ δὲ καί τις παρὰ τοῖς τὴν ἑῴαν οἰκοῦσιν, ἢ ἄλλοις ἀνθρώποις φυλάττεται παρατήρησις ἐπὶ τοῖς τῶν πόλεων χρόνοις, οὐδὲ ταύτῃ βασκαίνομεν· ἀλλὰ προτετάχθω μὲν ἡ βασιλεία, ἑπέσθω δὲ, ὡς εἴρηται, ὅ,τε ὕπατος, ἥτε ἐπινέμησις, ὅ,τε μὴν, ἥτε ἡμέρα καθ᾽ ἣν πράττεται καὶ γράφεται τὰ γινόμενα· τηνικαῦτα δὲ ἐπαγέσθω καὶ τὸ τῆς πόλεως πᾶσι τὸ ἐπιστὰν ἔτος. ἡμεῖς γὰρ ἀφαιρούμενοι μὲν τῶν ἔμπροσθεν οὐδὲν, βασιλικῇ δὲ προσθήκῃ τὸ πρᾶγμα αὔξομεν. καὶ ἀρχέσθω γε εὐθὺς ἀπὸ τῆς ἡγεμόνι θεῷ προϊούσης πρώτης ἐπινεμήσεως οὕτω πως αὐτῶν γραφόντων, Βασιλείας Ἰουστινιανοῦ τοῦ θειοτάτου αὐγούστου καὶ αὐτοκράτορος ἔτους ἑνδεκάτου, μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου, ἔτους δευτέρου, τῇ πρὸ τοσῶνδε· οὕτω τε ἐν ἅπασιν ὀνομαζέσθω τὰ τῆς βασιλείας ἔτη, τῆς τε ἡμετέρας, ἐφ᾽ ὅσον ἂν αὐτὴν ὁ θεὸς μηκύνοι, τῆς τε τῶν ἐφεξῆς αὐτοκρατόρων. πρόδηλον οὖν, ὡς νῦν μὲν, ἔτους ἑνδεκάτου τῆς ἡμετέρας γράψουσι βασιλείας· ἀρχομένου δὲ τοῦ ἀπριλλίου μηνὸς, κατὰ τὴν πρώτην ἡμέραν καθ᾽ ἣν ἡμᾶς ὁ θεὸς τοῖς Ῥωμαίων ἐπέστησε πράγμασι, δωδέκατον ἔτος γράψουσι· καὶ ἐφεξῆς οὕτως, ἕως ἂν ἡμῖν ὁ θεὸς τὴν βασιλείαν ἐκτείνοι· ἵνα ἡμῖν καὶ τοῦτο τὸ πρᾶγμα, πρὸς τοῖς νόμοις καὶ τῇ τούτων ποιήσει, μένοι διηνεκῶς ἀθάνατον, τῆς μνήμης τῆς βασιλείας παντὶ συμπαραγινομένης πράγματί τε καὶ χρόνῳ. Κἀκεῖνο μέντοι προστίθεμεν, ὥστε, ἐπειδὴ οἱ τὸν χρόνον ἐν τοῖς δικαστηρίοις ἀποσημαίνοντες, μετὰ τῶν ἀσαφῶν ἐκείνων καὶ ἀρχαίων γραμμάτων δηλοῦσιν αὐτὸν, παραφυλάττειν ἐν παντὶ δικαστηρίῳ, τὸ μετ᾽ ἐκεῖνα τὰ γράμματα τὰ τῆς ἀρχαιότητος, ἕτερα ὑποτίθεσθαι, ταῦτα δὴ τὰ κοινὰ καὶ ἅπασι σαφῆ, καὶ ἀναγινώσκεσθαι παρὰ πάντων ῥᾳδίως δυνάμενα, καὶ δηλοῦντα τὸν τῶν πραττομένων χρόνον· ἵνα μὴ παρενοχλῶσιν ἀναζητοῦντες τὸν χρόνον, εἶτα πλανώμενοι μένωσιν ἕως ἀνθρώπῳ τινὶ περιτύχοιεν τὰ γράμματα ἐκεῖνα ταῖς ἀληθείαις γινώσκοντι. ἀλλ᾽ εἰ μὲν τὰ ἐφεξῆς καὶ μετὰ τὴν προγραφὴν τῶν ἀσαφῶν γραμμάτων, τῆς ἑλλάδος εἴη φωνῆς, γράμμασιν ἑλληνικοῖς ὑποτίθεσθαι τὸν χρόνον· εἰ δὲ Ῥωμαϊ-

καὶ τίς ἡ τοῦ παντὸς χάρτου καθέστηκε τάξις, Ῥωμαϊκοῖς μὲν ὑπογράφεσθαι γράμμασιν ὁ χρόνος, ὑποκειμένοις τοῖς ἀσαφέσιν ἐκείνοις στοιχείοις· σαφεστέραν μέντοι τάξιν ἐχούσῃ γραμμάτων, καὶ ἣν ἔξεστι πᾶσιν ἀναγινώσκειν τοῖς ὅλως συλλαβαῖς Ῥωμαϊκῶν οὐκ ἀνεπιστήμοσιν. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἔν τε ταύτῃ τῇ μεγάλῃ πόλει, ἔν τε ταῖς ἐπαρχίαις ἁπάσαις ὧν ἄρχει, φανερὰ καταστησάτω. ὥστε μηδένα τολμᾶν ἑτέρως ἀριθμεῖν τὸν χρόνον, ἢ τἄλλα πράττειν, ἀλλ' οὕτω καθάπερ ἔμπροσθεν διωρισάμεθα. DAT.

PRID. K. SEPT. IMP. DN. IVSTIN. PP. AVG. ANN. POST BILIS. V. C. CONS.

## Περὶ ὅρκου δοθέντος παρὰ τοῦ τελευτῶντος ἕνεκεν τοῦ μέτρου τῆς ἑαυτοῦ περιουσίας. Διάταξις μη.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΑΕΙ τοῦτον ἕνα πεποιήμεθα σκοπόν, τὸ τὰς διατυπώσεις τῶν τελευτώντων εἶναι βεβαίας, εἰ μὴ μάχωνται νόμῳ, καὶ φανερῶς ἐναντιοῖντο τοῖς ἐκείνῳ δοκοῦσιν. Ἴσμεν τοίνυν καὶ ἐν τοῖς πράγμασι κινηθὲν καὶ προσαγγελθὲν ἡμῖν, ὡς διατιθέμενός τις σὺν ὅρκοις τὴν ἑαυτοῦ περιουσίαν ἅπασαν εἶπε, καὶ ὅτι ταύτην μόνην καταλιμπάνει τοῖς αὐτοῦ κληρονόμοις. τινὲς δὲ ὕστερον αὐτῶν τῶν κληρονόμων πρὸς ταῦτα ἀνανεύουσιν, οὐ δίκαια ποιοῦντες· ὅτι τῆς μὲν οὐσίας τῆς ἐκείνου κληρονομοῦσι, καὶ τοῦτο πείθονται τοῖς ὑπ' αὐτοῦ διατεταγμένοις· ἃ δὲ ἂν εἴποι μεθ' ὅρκου, ταῦτα οὐκ ἔτι κύρια μένειν, οὐδὲ φυλάττειν αὐτὰ κατὰ τὸν προσήκοντα τρόπον βούλονται. καίτοιγε τοῖς ἡμετέροις δοκεῖ νόμοις ἕν πως εἶναι πρόσωπον τό τε τοῦ κληρονόμου καὶ τὸ τοῦ εἰς αὐτὸν παραπέμποντος τὸν κλῆρον. ὥστε οὐκ ἄν τις αὐτὸν ἑαυτῷ φήσειε διαμάχεσθαι, καὶ ὅπερ εἶπε καὶ ἐπώμοσε κύριον εἶναι, τοῦτο μὴ βούλεσθαι κρατεῖν, ἀλλὰ πρὸς τοὺς οἰκείους διαμάχεσθαι λόγους. Θεσπίζομεν τοίνυν, εἴ τις ἀπογραφὴν πεποιηκὼς, εἴτε ἰδιόχειρον, εἴτε δι' ἑτέρων μὲν γραφεῖσαν, παρ' αὐτοῦ δὲ ὑποσημειωθεῖσαν· ἢ ἐν ταῖς αὐτοῦ διαθήκαις τὸ τῆς οὐσίας τῆς αὐτοῦ μέτρον ποιήσῃ φανερὸν (τῶν κληρονόμων ἴσως τῶν μὲν ἀπόντων, τῶν δὲ παρόντων, ἢ καὶ πάντων παρόντων) μὴ ἐξεῖναι τοῖς κληρονόμοις πρὸς ταῦτα ἀνανεύειν, μηδὲ λέγειν ὡς τῶν κληρονόμων τις ἀπέκρυψε πράγματα ἔξω τῶν ῥηθέντων παρὰ τοῦ τελευτῶντος. ἀλλ' εἴπερ ὅρκον ὁ τελευτῶν ὑπόσχοι, ἢ διομόσοιτο κατὰ τὰς ἑαυτοῦ διαθήκας, ὡς οὐδέν ἐστιν ἕτερον αὐτῷ παρὰ ταῦτα, οὕτω στέργειν τοὺς κληρονόμους, εἴτε παῖδες, εἴτε καὶ ἐξωτικοὶ εἶεν, καὶ μὴ πολυπραγμονεῖν, μηδὲ συκοφαντεῖν τοὺς ἑαυτῶν συγκληρονόμους· μηδὲ ἐντεῦθεν οἰκέτας τε ζητεῖν, καὶ εἰς βάσανον ἄγειν, καὶ ἕτερα τοιαῦτα ἐξερευνᾶν καὶ πολυπραγμονεῖν, ἅπερ μόνης ἐστὶ φιλονεικίας, ἑτέρου δὲ παντελῶς οὐδενός· ὡς τῆς οὐσίας δοκούσης τοσαύτης εἶναι ὅσην ὁ διατιθέμενος ὤμοσε, καὶ ταύτην μόνην εἰς τοὺς κληρονόμους διαιρεθῆναι βουληθέντος. Ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς κληρονόμους, οἷσπερ τοῦτό που δοκοῦσι τοῖς τελευτῶσιν εἶναι, κρατεῖν βουλόμεθα· οὐ μὴν τοῦτο κύριον εἶναι καὶ πρὸς δανειστάς. διότι τοῖς ἡμετέροις εἴρηται νόμοις, ὁπόσα ἄν τις ὑπὲρ ἑαυτοῦ φήσειεν ἢ γράψειε, ταῦτα μηδὲν αὐτὸν ὠφελεῖν, μηδὲ τοῖς δανεισταῖς προκρίνειν· ἀλλ' ἐκείνοις ἄδεια ἔστω πάντα ἀνερευνᾶν ὃν βούλονται τρόπον, τοὺς κληρονόμους

Universidad Carlos III de Madrid. Biblioteca

δὲ ἐμμένειν τοῖς παρὰ τοῦ διατιθεμένου ῥηθεῖσι. καὶ ἔστω γε κοινὴ τοῦ πράγματος ἐν τοῖς κληρονόμοις, τὸ τὸν ἐναντιούμενον τούτοις μὴ δύνασθαι τῶν καταλελειμμένων αὐτῷ παντελῶς ἀπολαύειν· ἀνάγκης ἐπούσης ἢ πείθεσθαι πᾶσιν, ἢ πάντα διαφεύγειν καὶ μὴ τὰ μὲν αἱρεῖσθαι, τοῖς δὲ διαμάχεσθαι. ἀλλὰ τὴν τοῦ τελευτῶντος βούλησιν ὑπὸ τῶν αὐτοῦ διαδόχων οὕτω φυλάττεσθαι, ὡς κατὰ μηδὲν ἐναντιοῦσθαι ταύτῃ θαρρεῖν. τούτων κρατούντων ἐπί τε τοῦ ἑξῆς χρόνου παντός, ἐπί τε πάσης ὑποθέσεως οὔπω κεκινημένης ἐν δικαστηρίῳ, οὐδὲ δικαστικῇ ψήφῳ ἢ φιλικῇ συμβάσει διαλελυμένης. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου γινώσκουσα, κατὰ τὸ σύνηθες, διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω. DAT. XV. K. SEPT. CONSTANTINOP. POST BILIS. V. C. CONS.

## Περὶ τῶν εἰσιόντων τὴν ἔκκλητον ῥεῶν. καὶ Περὶ ἰδιοχείρων προκομιζομένων ὑπὸ τοῦ ἐναγομένου. καὶ Περὶ τοῦ ὅρκου τῆς ὑποθέσεως, ὥστε καὶ συνάπτεσθαι αὐτὸν τῷ τῆς calumnias· ἵνα ἅπαξ μόνον ὑπὲρ πάσης ἀποδείξεως ὀμνύοιτο. Διάταξις μθ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΤΟ ῥευστὸν δὴ τοῦτο καὶ ἀνθρώπινον, καὶ μένειν ἐπὶ ταὐτοῦ μηδεπώποτε δυνάμενον, ἀλλὰ γινόμενον μὲν ἀεί, μένον δὲ οὐδέποτε, καὶ ταῖς νομοθεσίαις εἰσάγει τινὰ ταραχήν· καὶ τὸ δόξαν ἔχειν ὀρθῶς, καὶ ἐν βεβαίῳ κεῖσθαι δοκοῦν, καὶ τῇ τῶν ἀκριβῶν κατασφαλισθὲν παρατηρήσει, πολλάκις ἐκίνησεν ἡ τῶν ἐπισυμβάντων ποικιλία πραγμάτων. Ἴσμεν γὰρ ὡς πρώην ἐπηνωρθώσαμεν τὸ κακῶς καὶ δολερῶς περὶ τὰς ἐφέσεις γινόμενον, ὅτι μόνῳ τῷ τὴν ὑπόθεσιν εἰσαγαγεῖν εἰς δικαστήριον οἱ ἐφέται ἀρκούμενοι, καὶ τὴν τοῦ προσώπου ποιησάμενοι στάσιν ἢ κατὰ μίαν μοῖραν, ἢ καὶ κατὰ διάγνωσιν (ἀδιάφορον γὰρ δὴ τοῦτο) κατελίμπανον τὴν ὑπόθεσιν. καὶ τῷ γε νενικηκότι παντοίως ἦν ἀδιεξόδευτα τὰ τῆς δίκης· μὴ δυναμένῳ μηδὲ τῶν κεκριμένων ἀπολαῦσαι, διὰ τὴν ἔφεσιν· μηδὲ τὴν ἔφεσιν ἐξετασθῆναι παρασκευάσαι, διὰ τὴν ἀπουσίαν τοῦ ἐφέντος. Ταῦτα ἡμεῖς πρώην νομοθετήσαντες ἐπηνωρθώσαμεν, ἐνιαυτὸν μὲν τάξαντες τῷ τὴν ἔφεσιν ἐπιδόντι, εἴτε αὐτῷ καθ' αὑτὸν εἰσελθόντι, εἴτε καὶ συστάδην, ἐφ' ᾧ τε εἴσω τούτου τὴν δίκην ἀγωνίσασθαι, καὶ τυχεῖν τῶν δικαίων, καὶ μὴ καταλιπεῖν αὐτὴν ἀπρονόητον· εἶτα διὰ φιλανθρωπίαν, εἰ παρὰ τὴν αἰτίαν τοῦ δικάζοντος τὰ τῆς ἐφέσεως ἐπισχεθῇ, ἢ κατ' ἄλλην τινὰ πρόφασιν ἀπαραίτητον, καὶ ἕτερον προσθέντες ἐνιαυτόν. μεθ' ὃν εἰ μὴ τὴν δίκην πληρώσειαν, κυρίαν μένειν τῷ νενικηκότι τὴν ψῆφον ἐθεσπίσαμεν. Ταῦτα μὲν οὖν ἔδοξέ τε ἡμῖν, καὶ ἐν κοινῷ γέγραπται νόμῳ· καὶ κρατεῖν τε τὸν νόμον τοῦτον βουλόμεθα, καὶ τὴν ἐκείνου παρατήρησιν. ἀλλὰ πολλοὶ προσῆλθον ἡμῖν, φάσκοντες αὐτοὶ μὲν προσαγγεῖλαι τοῖς ἐφέταις, καὶ βουληθῆναι τὴν δίκην ἐξετασθῆναι, οὐ μὴν αὐτῶν τῶν δικαστῶν τυχεῖν ἀνεχομένων, διά τινας ἴσως ἀπαραιτήτους ἀσχολίας. οἱ δὲ καὶ ἀνέμων ἀμετρίαν ᾐτιάσαντο, καὶ ὅτι πλεῖν οὐκ ἐξῆν ἐκ τῆς χώρας, ἐναντίων ἀπελαυνόντων πνευμάτων· πεζεύειν δὲ οὐκ ἴσχυον, διὰ τὴν τῶν ὄντων ἀπορίαν. ἢ ὅτι νησιῶται τυχὸν ὄντες,

Universidad Carlos III de Madrid. Biblioteca

ἄλλως εἰ μὴ θαλαττεύοντες ἐλθεῖν οὐκ ἠδύναντο, καὶ διὰ τοῦτο οὐκ ἴσχυσαν ἀγωνίσασθαι μέχρι πέρατος τὴν ὑπόθεσιν, οὐδὲ κατὰ τὸ δεύτερον ἔτος. καὶ τινὲς κατὰ μόνων ἀωρίαν, ἄλλοι νόσοις ἀπαραιτήτοις· ἅπερ ἅπαντα ἐξ αὐτῶν ἴσμεν τῶν πραγμάτων ἡμῖν προσαγγελθέντα. ὥστε ἡμᾶς ταῦτα δικαίως ἐτάραττε, καὶ τὸν νόμον ὑπερβῆναι μὴ βουλομένους, καὶ τοῖς κατά τινα τοιαύτην τύχην παρεῖσασιν ἀδικουμένοις δοῦναι βοήθειαν τὴν δυνατὴν ἐπιθυμοῦντας. τί οὖν περαιτέρω ἐχρῆν, εἰ μὴ πρὸς νόμον ἕτερον ἰδεῖν, τὰ εἰκότα τῷ πράγματι βοηθοῦντα; Ἡ μὲν οὖν παρατήρησις ἡ λοιπὴ τοῦ ῥηθέντος ἡμῖν νόμου, καθάπερ εἰπόντες ἔφθημεν, φυλαττέσθω διὰ παντός. εἰ δὲ ταῖς ἀληθείαις ἀπαραίτητόν τι γένηται, καὶ ὁ τὴν ἐφέσιμον δίκην ἀγωνιζόμενος, μὴ προσεδρεύοι, καίτοι τὴν εἴσοδον κατὰ κυρίαν ποιησάμενος οὐκ ἀπαντήσειε, κινδυνεύει δὲ ὁ τῆς διετίας ἐξήκειν καιρός, τηνικαῦτα τῷ νενικηκότι κυροῦσθαι τὴν ψῆφον (τοῦθ' ὅπερ ὁ πρότερος ἡμῶν λέγει νόμος) ἀλλὰ μετά τινος ὑποδιαιρέσεως, ἣν ἐν τῷ παρόντι προστίθεμεν. ἐπειδὴ γὰρ τοῖς νενικηκόσι μὲν ἐβοηθήσαμεν, τὴν ἀμετρίαν τοῦ χρόνου στήσαντες τοῖς ἔφεσιν δοῦσι, καὶ κατὰ κυρίαν εἰσελθοῦσιν, οὐ μὴν ἔτι τὴν ἀγωνίαν ὑπελθεῖν βουλομένοις, ἢ καὶ ἐν μέσοις τοῖς ἀγῶσιν ἀπολιποῦσιν αὐτήν· καὶ διὰ τοῦτο σμικρῷ τινὶ νενικηκότας ἐλαττοῦντες, στοχασαίμεθα ἂν καλῶς τοῦ προσήκοντος. βουλόμεθα γὰρ τὸν κρατήσαντα τῆς δίκης, εἰ βούλοιτο ταῖς ἀληθείαις κυρωθῆναι τὴν ψῆφον, οὐκ ἐξ ἐπιδρομῆς, οὐδὲ ἐκ χρόνου τινός, ἀλλ' ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας, καὶ ἀπολιμπανομένου τοῦ τὴν ἔφεσιν ἐπιδιδόντος, εἰσελθεῖν, καὶ αὐτὸ τοῦτο μέμψασθαι, καὶ ζητῆσαι τὸν ἀπολιμπανόμενον· καί, εἴτε εὕροι αὐτὸν ἰσχύσειεν, εἴτε ἐκεῖνος οὐ φανείη, τὰ ἑαυτοῦ δίκαια φέρειν εἰς μέσον· δηλαδὴ τῆς διετίας ἐνισταμένης ἔτι, πρὸς τῷ πέρατι μέντοι, ὥστε ἕνα τυχὸν ὑπολιμπάνεσθαι τῷ πράγματι μῆνα. καὶ εἰ μὲν εὐδόκιμος φανείη, κυρίαν εἶναι τὴν ψῆφον· εἰ δὲ ἐλαττοῖτο περὶ τοὺς ἀγῶνας, καὶ τοῦ τὴν ἔφεσιν ἐπιδόντος καὶ κατὰ κυρίαν εἰσεληλυθότος, μὴ προσεδρεύοντος, τὸ πρᾶγμα τὴν ἐκ τοῦ δικαίου δέχεσθαι ψῆφον. ἐκείνου μόνου προστιθεμένου, τοῦ κἂν εἰ κρατήσειε τῆς δίκης ὁ καὶ πρότερον νενικηκώς, κἂν εἰ περὶ αὐτὴν ἐλαττωθείη, τὰς δαπάνας αὐτῷ πάντως τὰς μετὰ τὴν ἔφεσιν εἰσόδων τὸν ἀπολελειμμένον δοῦναι. εἴτε γὰρ κρατήσειε τῆς δίκης, προφάσει τῆς δαπάνης, κατ' αὐτὸ τοῦτο καθ' ὅ,τι νενίκηκεν ὀρθῶς, δίκαιος ἂν εἴη καὶ τὴν δαπάνην λαβεῖν· εἴτε καὶ ἐλαττωθείη, διότιπερ ὅλως ἐκεῖνος ἀπελείφθη, καὶ γέγονεν αὐτῷ καὶ ἀπολελειμμένῳ νικῆσαι, τὰς μὲν δαπάνας καταπιθέτω, τῆς ψήφου δὲ ἀπολαύσας, χάριν ἴστω τῷ θεῷ, καὶ τῷ παρόντι νόμῳ, οὕτω τὸ δίκαιον αὐτῷ φυλάξαντι, καὶ μόνῃ ζημιώσαντι τῇ δαπάνῃ, εἴπερ οὐχ ὁ νόμος, αὐτὸς δὲ ἑαυτὸν ἀπὼν ἐζημίωσεν. Εἰ μέντοι μηδέτερος ἀπαντήσειε, μήτε ὁ νενικηκώς, μήτε ὁ νενικημένος (ὅσγε καὶ κατὰ κυρίαν εἰσελθών, εἶτα ἀπελείφθη) ἡ ψῆφος τοῦ νενικηκότος μενέτω κυρία· πάντων τῶν λοιπῶν τῶν ἐπὶ ταῖς ἐφέσεσι γεγραμμένων νόμων, κυρίων ὄντων, τῶν τε ἐπὶ ταῖς προθεσμίαις, τῶν τε ἄλλων. τοῦτον γὰρ δὴ τὸν νόμον ῥητῶς ἐπὶ τοῖς μετὰ τὴν εἴσοδον τὴν ἐπὶ τῇ κυρίᾳ γενομένην ἀπολελειμμένοις τίθεμεν· οὐδὲν τῶν ἄλλων νόμων ἢ χρόνων τῶν ἐφετικῶν οὔτε ἀναιροῦντες, οὔτε ἀμείβοντες, κυρίοις μὲν οὖν αὐτοὺς καὶ διὰ τοῦδε τιθέντες τοῦ νόμου.

Κἀκεῖνο μέντοι προσδιορίσασθαι καλόν, ὥστε εἰ μὲν οἱ νενικηκότες ἔφθασαν ἤδη ψήφου τυχεῖν κυρίας ἀποφαινούσης αὐτοῖς τὰς νίκας, τούτων αὐτοὺς ἀπολαύειν· (οὐδὲ γὰρ τῶν ἤδη πεπερασμένων κινοῦμεν) εἰ δὲ ἔτι μέχρι νῦν ἤρτηται, τῆς διετίας ἐνισταμένης καὶ μήπω παραδραμούσης, οὔπω δὲ τῆς ψήφου κεκυρωμένης, καὶ αὐτοὶ ταὐτῆς τυγχα-

Universidad Carlos III de Madrid. Biblioteca

βέτωρος ἐξετάσεως, καὶ οὕτως ἀπολαυέτωσαν οἱ νικήσαντες τῶν ψήφων, εἴπερ ταύτας ὀρθῶς ἔχειν ἀποδείξαιεν. Κἀκεῖνο δὲ ἡγούμεθα τῷδε χρῆναι προστεθῆναι τῷ νόμῳ. ἐπειδὴ γὰρ ἤδη γεγράφαμεν νόμον βουλόμενον ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν, ἀλλ' ἐκ μόνων τῶν ἀγοραίων, ὁρῶμεν δὲ τὴν τῶν πραγμάτων πεῖραν δεομένην προσηκούσης ἐπανορθώσεως ἐν τῷ νόμῳ, καὶ τοῦτο ἐξ αὐτῆς τῆς τῶν δικαζομένων εὑρόμεν πείρας· ἐπανορθῶσαι αὐτὸν κατὰ τοῦτο βουλόμεθα τὸ σχῆμα. πολλάκις γὰρ προσκομίσας τις ἰδιόχειρον συμβόλαιον, καὶ ἐξ αὐτοῦ ποιούμενος ἢ τὴν ἐναγωγὴν ἢ τὴν τῶν οἰκείων δικαίων ἀπόδειξιν, ἐπειδὴ τῆς αὐτῆς χειρὸς τοὐναντίον μέρος προσεκόμισε γράμματα, εἶτα νόμιμον σύστασιν ἐκεῖθεν ἠβουλήθη γίνεσθαι ἐξ ὧν αὐτὸς ὁ ἀντιτεταγμένος αὐτῷ προσκεκόμικεν· ὁ δὲ ἀπεκέχρητο τῷ νόμῳ τῷ δεῖν ἐξ ἀγοραίων συμβολαίων γίνεσθαι τὰς συγκρίσεις, ἀλλ' οὐ τῶν αὐτογράφων. Θεσπίζομεν τοίνυν, εἴ ποτε τοιοῦτό τι συμβαίη, καί τις βουληθείη πρὸς αὐτὰ τὰ παρὰ τοῦ ἀντιδίκου προσκομισθέντα γράμματα γίνεσθαι τὴν ἐξέτασιν, μὴ διαβάλλεσθαι τοῦτο ὡς οὐκ ὀρθῶς γινόμενον. ᾧ γὰρ ἂν αὐτὸς πιστεύοι, καὶ ὃ προσκεκόμικε, καὶ ἐξ οὗ τὰ οἰκεῖα ἐπιρρώννυσι δίκαια, τοῦτο οὐκ ἂν διαβάλλοι, οὐδὲ κωλύσειε τὴν σύγκρισιν τῶν γραμμάτων γενέσθαι πρὸς αὐτό, κἂν εἰ τύχοι καθεστὼς ἰδιόχειρον. οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ πολεμοίη, καὶ ἅπερ ἰσχυρίζεται, ταῦτα διαβάλλοι. Εἰ δὲ καὶ ἐκ δημοσίων ἀρχείων προσκομισθείη χάρτης, οἷον ἀπόδειξις τῆς τραπέζης τῶν ἐνδοξοτάτων ὑπάρχων (ἴσμεν γὰρ δὴ καὶ τοῦτο ζητηθέν) καὶ τὸ ἐκ τῶν δημοσίων προσκομιζόμενον, καὶ δημοσίαν ἔχον μαρτυρίαν, καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τιθέμεθα. πανταχοῦ γὰρ τὸ τῆς παραποιήσεως μισοῦντες πλημμέλημα, καὶ τὸν ὅρκον διδόναι τοὺς ἀντεξετάζοντας τὰ γράμματα νενομοθετήκαμεν, καὶ τὴν ἐξ ἀγοραίων μόνων συμβολαίων παράθεσιν εἰσηγησάμεθα. ὥστε κρατείτω διὰ πάντων ὁ νόμος ἐκεῖνος, τῆς παρούσης ὑποδιαιρέσεως ἐπιτιθεμένης αὐτῷ, τοῦ μέντοι ὅρκου τῶν συγκρινόντων ἐκ τρόπου παντὸς διδομένου· ἐπειδὴ δὲ ἡμεῖς, ὑπὲρ εὐλαβείας τῶν δικαζομένων, ἠβουλήθημεν αὐτοὺς ἐν προοιμίοις τῆς δίκης ὀμνύναι, τοὺς μὲν διώκοντας, ὡς οὐ συκοφαντοῦντες ἐπάγουσι τὰς δίκας· τοὺς δὲ φεύγοντας, ὡς οἰόντε τὴν ἀπολογίαν μετὰ τοῦ προσήκοντος ποιεῖσθαι, ἀλλ' οὐχ ἕνεκεν φιλονεικίας· καὶ τοῦτον κοινὸν ἐθέμεθα τὸν νόμον κατὰ παντὸς προσώπου, πάντα πᾶσιν οὐδενὶ τοῦτο συγχωρήσαντες. Κἀκεῖνο μέντοιγε προστεθείκαμεν, ὥστε εἴ τις ἀποδείξεις ἀπαιτοίη τινὰ τῶν οἰκείων λόγων ἢ γραμμάτων, ὀμνύναι πρότερον αὐτὸν ὡς οὐκ διαβολῆς ἕνεκα τοῦτο πράττει. πολλοὶ γὰρ μόνης ὕβρεως ἕνεκεν, καὶ μάλιστα ἐπὶ τῶν σεμνοτέρων γυναικῶν, εἴτε γραμμάτων ἀπόδειξις αἰτηθείη, εἴτε ἑτέρας οἱασοῦν αἰτίας, εὐθὺς ἐπὶ τὸν ὅρκον τοῦτον τρέχουσιν, ὥστε ἐπὶ μιᾶς ὑποθέσεως πολλάκις ὅρκους δίδοσθαι. Θεσπίζομεν οὖν, ταύτην ἀναιροῦντες τὴν ὕβριν, καὶ οὐ βουλόμενοι πολλάκις ἐπὶ τῆς αὐτῆς ὑποθέσεως ὅρκους παρέχεσθαι, ὥστε ἑκάτερον μέρος, ἡνίκα τὸν μὲν τὸν περὶ τῆς calumnias ὅρκον ὀμνύοι, τὸν δὲ τὸν περὶ τοῦ δικαίαν νομίζειν τὴν ἀντίρρησιν εἶναι τῆς δίκης· προστιθέναι ὡς ἐν ἁπάσῃ τῇ δίκῃ εἴποτε ζητήσειεν ἀποδείξεις τὸν ἀντίδικον τὸν αὐτοῦ, οὐ κατὰ πρόφασιν ὑποθέσεως τοῦτο ποιεῖ, ἀλλὰ ταῖς ἀληθείαις ἀναγκαίαν ἑαυτῷ τὴν παρὰ τοῦ οἰκείου ἀντιδίκου δοθησομένην νομίζων ἀπόδειξιν. καὶ εἰ τοῦτον ὀμόσειε τὸν ὅρκον, μηκέτι παντελῶς, κἂν εἰ πολλάκις ἐπιζητήσειεν ἀποδείξεις παρὰ θατέρου μέρους, ἀπαιτεῖσθαι τὸν ὅρκον, ἀλλὰ δίδοσθαι τὰς ἀποδείξεις, καὶ μὴ πολλάκις ἀναγκάζεσθαι τινὰς ὅρκους ὑπέχειν, γενικῶς ἅπαξ τοῦ τοιούτου ὅρκου διδομένου. Τὰ τοίνυν παραστάντα

ἡμῖν,

Universidad Carlos III de Madrid. Biblioteca

ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἡ σὴ ὑπεροχὴ ἅπασι ποιησάτω φανερά, ἐδίκτων παρ' αὐτῆς καταπεμπομένων, ὥστε πάντας γινώσκειν τὰ παρ' ἡμῶν νενομοθετημένα. DAT. XV. K. SEPT. CONSTANT. POST BIL. V. C. CONS.

Αὕτη ἡ διάταξις, ἐστὶν ἡ αὐτὴ τεθεῖσα μα, ἧς ἡ ἀρχή, Ἴσμεν προφανῶς δηλώσαντες.

## Ἡ διάταξις τάττει τὰς ἐκκλήτους ἀπὸ τῶν πέντε ἐπαρχιῶν, Καρίας καὶ Κύπρου, καὶ τῶν κυκλάδων νήσων, καὶ Μυσίας καὶ Σκυθίας, παρὰ τίνι δεῖ ταύτας ἐξετάζεσθαι. Διάταξις ν.

* * * * * * * * * *

## Περὶ τοῦ τὰς ἐπὶ σκηνῆς μήτε ἐγγύην μήτε ὅρκον ἀπαιτεῖσθαι προσεδρείας. Διάταξις να.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ πραιτωρίων τῆς ἕω, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΙΣΜΕΝ πρῴην πεποιημένοι νόμον, ἀπαγορεύοντα μηδενὶ παρρησίαν εἶναι τὰς εἰς σκηνὴν καθιστώσας γυναῖκας ἐγγυητὰς εἰσπράττειν ὡς προσεδρεύσουσι, καὶ τὴν ἀσεβῆ πληρώσουσιν ἐργασίαν, μεταμέλου καιρὸν οὐκ ἔχουσαι· καὶ ποινὰς ἀπειλήσαντες ἐφ' αὐτὰς τοῖς τὰς τοιαύτας ἐγγύας ἀπαιτοῦσι· πρὸς τῷ καὶ αὐτοὺς τοὺς ἐγγυητὰς ἀνευθύνους ἀπιέναι, καὶ μηδεμίαν ἐπάγεσθαι αὐτοῖς ἀνάγκην τῆς τῶν προσώπων τούτων παραστάσεως. ἀλλ' ἐπὶ τοῦ παρόντος εὕρομεν δεινήν τινα καὶ οὐ φορητὴν ἐπήρειαν κατὰ τῆς ἡμῖν σπουδαζομένης γίνεσθαι σωφροσύνης. ἐπειδὴ γὰρ αὐτοῖς ἐγγυητὰς λαμβάνειν ἐκωλύσαμεν, ἐξεῦρον ἐκεῖνοι ἑτέραν ὁδὸν εἰς ἀσέβειαν ἄγουσαν μείζονα. ὅρκον γὰρ αὐτὰς ἀπαιτεῖν ὡς οὐδέποτε παύσονται τῆς ἀσεβοῦς ἐκείνης καὶ ἀσχήμονος ἐργασίας· τὰς δὲ γυναῖκας τὰς ἀθλίας, καὶ οὕτω κακῶς ἐξηπατημένας, εὐσεβεῖν νομίζειν εἴπερ ἀσεβήσαιεν, καὶ ἵνα φυλάξωσι τὸν ὅρκον, διὰ τοῦτο τῆς ἑαυτῶν προΐεσθαι σωφροσύνης. καίτοιγε ἐχρῆν γινώσκειν ὡς αἱ τοιαῦται παραβάσεις μᾶλλον ἀρέσκουσι θεῷ, παρὰ τὰς τῶν ὅρκων τηρήσεις. οὐ γὰρ εἴ τις παρά τινος ὅρκον λάβοι ὡς φονεύσειε τυχὸν, ἢ μοιχεύσειεν, ἤ τι πράξειε τοιοῦτο ἄτοπον, δεῖ φυλάττεσθαι τὸν ὅρκον οὕτως αἰσχρόν τε καὶ ἄτοπον, καὶ εἰς ἀπώλειαν ἄγοντα. ὥστε ἐξέστω τῇ γυναικὶ, κἂν εἰ τὸν τοιοῦτον ὅρκον ὀμόσειεν, ἀναχωρεῖν τῆς τοῦ ὅρκου τούτου πικρίας, καὶ σωφρονεῖν ἀκινδύνως, μᾶλλον δὲ θεοφιλῶς, τῆς ποινῆς τῆς ἐπιορκίας (εἴ τις ὅλως ἐστὶ ποινὴ) κατὰ τοῦ τὸν ὅρκον ἀπαιτήσαντος τρεπομένης. ὥστε καὶ ἡμεῖς αὐτίκα ἐπάγομεν decē librarum auri ποινὴν, ἀπαιτοῦντες τὸν θαρρήσαντα ὅλως τοιοῦτον ὅρκον λαβεῖν. καὶ τοῦτο δὴ τὸ ποσὸν αὐτῇ τῇ ταλαιπώρῳ δίδοσθαι γυναικὶ θεσπίζομεν εἰς τὴν λοιπὴν εὐσχημοσύνην τοῦ βίου, ἀπαιτούμενον διὰ τῆς ἀρχῆς τῆς ἐπιχωρίου, καὶ διδόμενον αὐτῇ. γινώσκοντος τοῦ ἄρχοντος ὡς εἰ ῥαθυμήσειεν, ἐνέξεται αὐτῇ, καταθεμένου τοῦ ἀρχικοῦ· κληρονόμοι τε αὐτοῦ, καὶ διάδοχοι, καὶ ἡ τούτου ταξεῶτις· αἰθ' ὅτου πρᾶξιν εὐσεβῆ πράττειν ἠμέλησεν. Εἰ δέ γε αὐτὸς ὁ τῆς ἐπαρχίας ἡγούμενος τὸν ὅρκον ἀπαιτήσειεν, αὐτὸς καὶ τὴν εἰρημένην τῶν decē librarum auri ποινὴν ἀπαιτείσθω, εἰ μὲν στρατιωτικὸς ἄρχων κατ' ἐκείνην εἴη τὴν ἐπαρχίαν, καὶ δι' ἐκείνου δοθησομένην, ὡς εἴρηται, τῇ γυναικί· εἰ δὲ οὐκ ἔχει στρατιωτικὸν ἄρχοντα, ὁ τῆς μητροπόλεως τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοπος αὐτοῦ προνοείτω τοῦ πράγματος· καὶ εἰς ἡμᾶς,



Universidad Carlos III de Madrid. Biblioteca

εἰ δοκιμάσειεν, ἀναφέρων καὶ πρός γε ὁ ἐκ γειτόνων μείζων ἄρχων. ὥστε πάντα τρόπον τὸν τοῦτο πράξαντα, εἴτε ἄρχων, εἴτε ἰδιώτης εἴη, τῇ εἰρημένῃ σωφρονίζεσθαι ποινῇ. καὶ διδόναι ταύτην τῇ, τό γε ἐπ' ἐκείνῳ, μηδὲ σωφρονισθῆναι ἔτι δυναμένῃ, ἵνα μὴ φανείη δήπουθεν ἐπιορκήσασα. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἡ σὴ ὑπεροχὴ κηρύγμασιν οἰκείοις, ἅπασι ποιησάτω φανερά, ὅπως ἂν γνοῖεν τὴν τῆς ἡμετέρας βασιλείας περὶ σωφροσύνην σπουδήν. DAT. K. SEPT. DN. IVST. PP. AVG. BILIS. V. C. CONS.

## Περὶ τοῦ μήτε προσώπου, μήτε πράγματος, μήτε χρεωστίου γίνεσθαι ἐνεχυριασμόν, ἀλλὰ τετραπλάσιον ἀναδίδοσθαι τῷ ἐνεχυριασθέντι. καὶ Περὶ τοῦ ἕτερον ἀνθ' ἑτέρου, ἢ πλήξαντος ἢ ἄλλως ἐπηρεάσαντος, μήτε πλήττεσθαι, μήτε ἄλλως ἐπηρεάζεσθαι. καὶ Περὶ τοῦ τὴν παρὰ ἰδιώτου γινομένην εἰς τὸν βασιλέα δωρεὰν μὴ δέεσθαι πράξεως ὑπομνημάτων. Διάταξις νβ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΤΟΥΣ ἀνελευθέρους ἐνεχυριασμοὺς καὶ τὰς μεμισημένας ἐπὶ τούτοις εἰσπράξεις πολλοὶ μὲν καὶ ἕτεροι νόμοι μισοῦσι, διαφερόντως δὲ οἱ παρ' ἡμῶν τεθειμένοι· ἀλλ' οὐκ ἴσμεν ὅπως τὸ πρᾶγμα, καίτοι τοσαύταις κεκολασμένον νομοθεσίαις, ἐπιτολμᾶται καὶ πολιτεύεται, καὶ μείζονα τὴν ἑαυτοῦ προέχεται δύναμιν τῆς ἐκ τῶν νόμων ἀνάγκης. διὰ τοῦτο θεσπίζομεν, μηδένα παντελῶς ἐνεχυριασμὸν κατὰ τὴν ἡμετέραν πολιτείαν κρατεῖν, μήτε ἐν πανηγύρεσι (τοῦτο γὰρ μάλιστα ἐκεῖσε τολμώμενον εὑρίσκομεν) μήτε ἐν ἀγροῖς, μήτε ἐν πόλεσι, μήτε ἐν κώμαις, μήτε ἐπὶ πολίταις, μήτε ἐπὶ κωμήταις, μήτε ἐπὶ γεωργοῖς, μήτε ἑτέρῳ τῶν πάντων τινὶ, καθ' οἱονδήποτε τρόπον ἢ χρόνον· ἀλλὰ τὸν θαρροῦντα ἕτερον ἀνθ' ἑτέρου, κατὰ τὸ τοῦ ἐνεχυριασμοῦ σχῆμα, χρεωστίου ἤ τι ἕτερον εἰσπράττειν, τοῦτο ἀποδιδόναι τετραπλάσιον τῷ βεβιασμένῳ· ἐκπίπτειν δὲ καὶ τῆς ἀγωγῆς ἧς εἶχε κατ' ἐκείνου ὑπὲρ οὗ τὴν εἴσπραξιν ἐποιεῖτο. οὐ γὰρ ἂν ἔχοι λόγον, ἕτερον μὲν εἶναι τὸν ὀφείλοντα, ἕτερον δὲ τὸν ἀπαιτούμενον. ἀλλ' οὐδὲ ἕτερον ἐνοχλεῖσθαι ὑπὲρ ἑτέρου τινὸς, ὡς ἔφοδον ἀμύναντος, ἢ ὕβριν, καὶ, οἷα συγκωμήτην ἐκείνου καθεστῶτα, στρεβλοῦσθαι καὶ ὑβρίζεσθαι, καί τι πάσχειν τῶν οὐ προσηκόντων· ἢ ὅλως ὑπὲρ ἑτέρου δίχα νομίμου προφάσεως τὴν οἱανοῦν ὑπομένειν ἐπήρειαν. ἀλλὰ καὶ τιμωρίας ὑπομένειν τὰς εἰς σῶμα παρὰ τῶν ἐφεστώτων τοῖς ἔθνεσι· γινωσκόντων ὡς εἰ μὴ τοῦτο πράξαιεν, ἀλλὰ κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχουσιν ἐνεχυριασμοὶ τολμηθεῖεν, οὐδὲν ἔσται τοιοῦτον ὅπερ αὐτοὺς τῶν ἡμετέρων ἐξαρπάσει χειρῶν. Κἀκεῖνο μέντοι συνείδομεν τῷδε προσθεῖναι τῷ νόμῳ, ὥστε καθάπερ αἱ παρὰ τῆς βασιλείας εἰς ἑτέρους γινόμεναι δωρεαὶ οὐ δέονται πράξεως ὑπομνημάτων, ἀλλ' αὐτόθεν ἔχουσι τὴν ἰσχύν· οὕτω μηδὲ τὰς παρὰ τῶν ἰδιωτῶν εἰς τὴν βασιλείαν γινομένας, εἰ μόνον ταῖς ἀληθείαις γένοιντο ἐν ἀγορᾷ παρὰ συμβολαιογράφων συντελεσθεῖσαι, ὑπογραφὴν ἔχουσαι τοῦ τε πεποιηκότος καὶ μαρτύρων, καὶ τὴν ἄλλην τὴν ἐπὶ τῶν δωρεῶν παρατήρησιν, μὴ δεῖσθαι πράξεως ὑπομνημάτων ἐφ' οἱᾳδήποτε ποσότητι. οὐ γὰρ ἂν εἴη τῶν ἀκολούθων, τὸ μηδὲ τῶν

Universidad Carlos III de Madrid. Biblioteca

αὐτῶν τυγχάνειν τὴν βασιλείαν παρὰ τῶν ἰδιωτῶν, ὧν αὐτὴ δίδωσιν ἐκείνοις. τὸ δὲ δὴ μέσον τοῦτο γέγονεν ἐκ καινοτομίας ἣν ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως ὑφηγήσατο διάταξις, τὸ τὰς βασιλικὰς δωρεὰς μὴ χρήζειν ὑπομνημάτων. ἐπεὶ τοίνυν ἀτελὲς τὸ πρᾶγμα ἔμπροσθεν ἐθεωρήθη, διὰ τοῦτο ἡμεῖς τὸ τέλειον ἐπιθέντες αὐτῷ, ἑκατέρωθεν κρατεῖν αὐτὸ βουλόμεθα, ἐπί τε τῶν παρὰ βασιλέως εἰς ἰδιώτας γινομένων δωρεῶν, ἐπί τε τῶν παρὰ ἰδιωτῶν εἰς τὴν βασιλείαν, ὥστε τὴν διὰ ἰσότητος δικαιοσύνην τῷ πράγματι προστεθῆναι. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ διὰ τῆσδε τῆς θείας ἡμῶν διατάξεως νενομοθετημένα, διὰ κηρυγμάτων οἰκείων, κατὰ τὸ σύνηθες, ποιῆσαι φανερὰ πᾶσι σπευσάτω. DAT. XV. KAL. SEPT. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BILIS. V. C. CONS.

Περὶ τοῦ τὸν ἐν ἐπαρχίαις εἰς ὑπερόριον δικαστήριον παριστῶντα, ἐγγύην διδόναι ὅτι εἰ μὴ νικήσει τὴν δίκην, δώσει ὅσον ὁ δικάζων ὁρίσει λαβεῖν τὸν συκοφαντηθέντα. καὶ Περὶ τοῦ τὸν δεχόμενον βιβλίον, εἴκοσι ἡμερῶν ἔχειν προθεσμίαν ἐπὶ διασκέψει εἰ βούλεται δικάσασθαι, ἢ τὸν δοθέντα ἀνέχεται δικαστήν. καὶ Περὶ τοῦ μετὰ ἐξωμοσίαν ἀπολιμπανομένου, ὀφείλοντος πᾶσαν πληρῶσαι ζημίαν τῷ ἐνάγοντι, καὶ ὑπὸ ἐγγύην τινὰ λοιπὸν λέγειν τὴν δίκην, ἢ ὑποτίθεσθαι. καὶ Περὶ τῶν δίχα προικὸς ἢ προγαμιαίας δωρεᾶς συνοικησάντων προτελευτησάντι ἀπόρων, εὐπόρων καλουμένων, εἰς τὸ τέταρτον τῆς περιουσίας, εἴτε ὑπόντων παίδων, εἴτε μὴ ὑπόντων. Διάταξις νϛ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡχῳ πραιτωρίων τῆς ἕω, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΠΟΛΛΟΙ προσιόντες ἡμῖν διδάσκουσι τὸ ἡμέτερον κράτος, ὡς ἀγώγιμοι γίνονται παρά τινων, ἢ καὶ εἰς ἑτέρας ἀπάγονται χώρας, ἢ ἐκ θείας ἡμῶν κελεύσεως, ἢ καὶ ἐκ ψήφων ἀρχικῶν· ἢ καὶ ταλαιπωροῦνται μὲν τούτοις, ἠναγκασμένοι δὲ ὑπὸ τῶν κελεύσεων ἢ τῶν ψήφων ἄγονται. εἶτα οἱ τούτους ἀγαγόντες, καὶ ἀσφαλείας κομισάμενοι ὡς εἴσω ῥητοῦ χρόνου καταλήψονται τὸ ἀφορισθὲν δικαστήριον οἱ παρ' αὐτῶν αἰτιαθέντες, αὐτοὶ μένουσιν ἐν τῇ χώρᾳ, τρύχεσθαι τὸν ἐν ξένῃ δαπάναις τὸν παραστάντα ἢ διαχθέντα καταλιμπάνοντες. Τοῦτο τοίνυν ἐλεοῦντες, θεσπίζομεν, εἴ τι γένοιτο τοιοῦτο, καὶ ὁ χρόνος πληρωθείη ὃν ἐπὶ τῇ τῆς παραστάσεως ἢ τῆς ἀπαγωγῆς ἀσφαλείᾳ αὐτὸς ὁ ἐνάγων ἔταξεν, εἶτα ὁ μὲν ἐναγόμενος προσεδρεύοι τῷ δικαστηρίῳ, ὁ δὲ ἐνάγων ἀπολιμπάνοιτο, καὶ μὴ εἴσω ἡμερῶν δέκα ἀφ' οὗ περ παραγένοιτο τῇ χώρᾳ, ὁ ἐνάγων ἀπαντήσειε· τὸν μὲν ἐναγόμενον εἰσιόντα παρὰ τῷ δικαστῇ, καὶ ταῦτα διδάσκοντα, παραχρῆμα ἀφίεσθαι, ὅρκῳ δὲ αὐτοῦ κρίνεσθαι πᾶσαν δαπάνην ἣν ὑπέστη περί τε τὴν ὁδοιπορίαν, περί τε τὴν ἐν ξένῃ διατριβήν· καὶ ταύτην τὸν δικαστὴν καταδικάζειν τὸν ἐνάγοντα μάτην. καὶ ἐπειδήπερ εἴωθός ἐστι μὴ ἁπλῶς γίνεσθαι τὰς ἀπαγωγὰς ἢ τὰς παραστάσεις, εἰ μὴ οἱ ἐνάγοντες ἐγγυητὰς ἐπὶ ῥητῇ ποσότητι δοῖεν ὡς ἐπεξέρχοιντο τῇ δίκῃ, καὶ κρα-



Universidad Carlos III de Madrid. Biblioteca

τοῦσι τὴν ψῆφον, οὗτος μὲν τὸ ποσὸν πάντως αὖθις ἀπαιτεῖσθαι, καὶ δίδοσθαι τῷ μετ' αὐτὸν συκοφαντηθέντι· εἰ δὲ διὰ τοῦ ὅρκου καὶ πλέον τι σαφηνίσειε (ῥητῆς μέντοι ποσότητος ὁριζομένης παρὰ τοῦ δικάζοντος, ἣν οἱ νόμοι ταξατίωνα καλοῦσι) καὶ τοῦτο προσαπαιτεῖσθαι. ἵνα μάθοιεν μὴ παίζειν εἰς βίους ἀλλοτρίους, ἀλλὰ τὰ κατὰ χώραν αἱρεῖσθαι δικαστήρια, κἀκεῖσε πρὸς τοὺς ἑαυτῶν ἀντιδίκους διακρίνεσθαι. Ἐπειδὴ δὲ τὰς παρὰ τῶν ἐναγόντων ἐγγύας ὡς ἐπίπαν ἴσμεν ἐνταῦθα διδομένας ἐπὶ τοῖς παρεισαμένοις προσώποις· εἰ δὲ εἰς ἑτέραν ἀπάγοιντο χώραν, ἴσως διαφυγγάνειν ταύτην τὴν παρατήρησιν· θεσπίζομεν τὸν ἐνταῦθα δικαστήν, ἢ τὸν ἐνδοξότατον ἡμῶν κοιαίστωρα, τὸν τοῖς θείοις ἡμῶν ὑπηρετούμενον γράμμασιν, εἴ τι τοιοῦτο πρᾶξαι κελευσθείη, μὴ ἄλλως εἰς ἑτέραν ἀπαρτῆσαι χώραν τὸν ἐναγόμενον, πρὶν ἂν ἐγγυητὴν προσκαταστήσειεν ὁ ἐνάγων ἐν τῷ δικαστηρίῳ, καθ' ὃ μέλλει τὸν εὐθυνόμενον ἄγειν, ὡς δώσει πρὸς τὸ τῶν τόπων διάστημα χρυσίον ὅσον ἂν ὁρισθείη τῷ φεύγοντι, εἰ μὴ αὐτὸς ἐπεξέλθοι, ἢ ἐπεξελθὼν μὴ κρατήσει τῆς δίκης· κἀκεῖσε πάντα πράττεσθαι ὁπόσα ἐπὶ τῇ παραστάσει διωρίσαμεν, τοῦ μὲν ὁρισθέντος χρυσίου, παρὰ τῶν ἐγγυητῶν ἀπαιτουμένου, καὶ διδομένου τῷ ἀπαχθέντι· παρεχομένου δὲ παρ' ἐκείνου καὶ τοῦ ὅρκου ἄχρι ταξατίωνος. ἵνα, εἴπερ ὀμόσειε καὶ πλέον δεδαπανηκέναι, καὶ τοῦτο ἀπολάβοι, καὶ πανταχόθεν φαίνοιτο τέλεια τὰ τῆς ἡμετέρας νομοθεσίας. Κἀκεῖνο δὲ ἡμῖν ἡ ἀρχαιότης οὐ ποιοῦσα διετύπωσεν, οἱ δὲ νῦν ἐξεπιτηδὲς τεχνάζουσι, τὴν τῶν ἡμετέρων νόμων φιλανθρωπίαν ἀφορμὴν ποιούμενοι τῆς ἑαυτῶν ἐπηρείας. τῆς γὰρ παλαιότητος βουλομένης τὸν αἰτιάσεως βιβλίον δεξάμενον, ἡμερῶν εἴσω δέκα διάσκεψιν ἔχειν ἐφ' ᾧ καὶ ἀνερευνῆσαι τὸ πρᾶγμα, καὶ ἴσως ἐπιγνῶναι, καὶ ἀπαλλαγῆναι· μετὰ δὲ τὴν τῶν δέκα ἡμερῶν προθεσμίαν, τηνικαῦτα καὶ ὑπογραφὴν τῷ σταλέντι βιβλίῳ καὶ τὰς δικαστικὰς πληροῦν ἀσφαλείας· τινὲς δὴ ἀφορῶντες εἰς τοὺς ἡμετέρους νόμους, οἱ μετὰ προκατάρξιν οὐδὲ παραιτεῖσθαι τὸν δικαστήν, οὐδὲ συνδικαστὴν αἰτεῖν συγχωροῦσι, τὸ πρᾶγμα τεχνάζουσι, καὶ μάλιστα τῶν πρακτόρων τὰ τοιαῦτα δολερῶς ἐξευρισκόντων· καὶ ἅμα προσενεχθείη τις ὑπόμνησις, πολλάκις οὐδὲ βιβλίου διδομένου, οὐδὲ δικαστικῆς οὐδεμιᾶς ἀσφαλείας, ἄγουσι τὸν ἄνθρωπον ἄκοντα πρὸς τὸν δεδομένον δικαστήν, καὶ οὐδ' ὁπωσοῦν ἐπιστάμενον συνελαύνουσι ποιήσασθαι προκατάρξιν. ὥστε ἅπαξ αὐτὸν ὑπὸ τῇ προκατάρξει γενόμενον, δεδέσθαι, καὶ μηδεμίαν ἔχειν ἄδειαν μήτε παραιτήσασθαι τὸν δικάζοντα, μήτε συνδικαστὴν γοῦν αἰτῆσαι· καίτοι γε ἴσως ὑπόπτου τοῦ δικαστοῦ καθεστῶτος. οὕτω τε πράττουσιν ἃ βούλονται, καὶ ὑπὸ ταῖς ἑαυτῶν τέχναις τὸν ἄνθρωπον ποιησάμενοι, ὃν βούλονται τρόπον τὰ κατ' αὐτὸν σπαράττουσι. Θεσπίζομεν τοίνυν, ἐπειδὰν ὑπόμνησις προσενεχθείη τινί, πάντως ἐπιδίδοσθαι βιβλίον, καὶ μὴ κατὰ τὸ παλαιὸν δέκα μόνον ἡμερῶν ἔχειν τὸν ὑπομνησθέντα προθεσμίαν, ἀλλὰ δεκαπλασίαν, τουτέστιν εἴκοσιν. ὥστε εἴτε παραιτήσασθαι βουληθείη, εἴτε καὶ συνδικαστὴν αἰτῆσαι, ἄδειαν ἔχειν τοῦτο ποιεῖν, ἢ καὶ ἴσως ἐπιγνῶναι τὸ ὄφλημα, καὶ ἀπαλλαγῆναι πρὸς τὸν ἀντίδικον τὸν αὐτοῦ φιλικῶς· καὶ μὴ κατ' ἐπήρειαν καὶ ἐπιδρομὴν ὑπὸ δικαστῇ γίνεσθαι, ἴσως ὑπόπτῳ, ἴσως ἀκαταθυμίῳ, πολλάκις δέ τι καὶ οἰκεῖον ἐπὶ τῷ φεύγοντι διοικουμένῳ· καὶ τοῦ τὴν δίκην ὑπομένοντος, οὐδένα καιρὸν ἔχοντος πρὸς τὸ μαθεῖν ἐφ' οἷς ἐναγόμενος ἀπαντήσει. δεχόμενον δὲ αὐτὸν τὸ βιβλίον, μόνης προσωπικῆς ἐγγύης παρ' αὐτοῦ διδομένης, καὶ τῶν σπορτούλων κατὰ τὴν θείαν ἡμῶν παρεχομένων διάταξιν, ὑπογράφειν τῷ καλουμένῳ ἀντιβίβλῳ, δηλοῦντα καὶ τὸν χρόνον καθ' ὃν αὐτῷ τὸ βιβλίον ἐπιδίδοται, ἵνα μὴ καὶ περὶ τοῦτο τέχνη τις γένηται. ἐπειδὰν δὲ μέλλοι γίνεσθαι προκατάρ-

Universidad Carlos III de Madrid. Biblioteca

ξις παρὰ τῷ δικαστῇ, ἐρωτᾶσθαι τὸν φεύγοντα εἰ αἱ εἴκοσι διεληλύθασιν ἡμέραι αἱ τῆς διασκέψεως. κἀκεῖνον λέγειν μὲν τἀληθῆ, δεικνύναι δὲ τοῦτο καὶ ἐκ τῆς ἡμέρας τοῦ βιβλίου, καὶ τῆς ὑπογραφῆς τῆς κατὰ τὸ βιβλίον. καὶ εἰ φήσειε παρεληλυθέναι τὸν τῶν εἴκοσι ἡμερῶν ἀριθμόν, τηνικαῦτα γίνεσθαι τὴν προκατάρξιν. ἐν μέσῳ δὲ ἄδειαν εἶναι καὶ παραιτεῖσθαι τὸν δικαστὴν καὶ ἕτερον αἰτεῖν, ἢ συνδικαστὴν αὐτῷ λαμβάνειν· ἢ καὶ ἀπαλλάττεσθαι φιλικῶς· οὐδὲν ἐν μέσῳ οὔτε ζημιούμενον, οὔτε παρὰ τῶν πρακτόρων ταραττόμενον· ἀλλὰ τήν τε δικαστικὴν ἀσφάλειαν ἐκτιθέμενον, καθάπερ ἂν οἱ ταῦτα κρίνοντες συνίδοιεν, τήν τε τῶν εἴκοσι ἡμερῶν ἔχοντα διάσκεψιν. Εἰ δὲ ταῦτα μὴ διαφυλαχθείη, κἂν δόξειέ τις γενέσθαι προκατάρξις, αὐτὴ μηδενὸς ἀξία ἔστω, ἀλλ᾽ ἄδειαν εἶναι, καὶ μετὰ τὴν τοιαύτην προκατάρξιν, εἴσω τῶν τεταγμένων εἴκοσι ἡμερῶν, οὕτως ἅπαντα πράττειν ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐγεγόνει τις προκατάρξις. Εἰ δὲ ἅπαξ παραιτησάμενος τὸν δικαστὴν, ἕτερον λάβοι, οὐ δίδομεν αὐτῷ καὶ τὸν ἠτημένον αὖθις παραιτεῖσθαι. ὥσπερ γὰρ αὐτοῦ κηδόμεθα, οὕτω καὶ τὸ δι᾽ ἀναβολὴν πράττεσθαί τι κατὰ τῶν ἐναγόντων, παντελῶς ἀποστρεφόμεθα. Εἰ δὲ καί τινες δραμάσαιντο μὲν ὡς προσεδρεύουσι, πρὶν δὲ ἡ προκατάρξις γένοιτο, τῆς μεγάλης ταύτης ἀφανεῖς κατασταῖεν πόλεως, ἄδειαν εἶναι, καὶ μὴ γενομένης προκατάρξεως, προσιέναι τὸν ἐνάγοντα τῷ ἀφορισθέντι δικαστῇ, καὶ ταῦτα προσαγγέλλειν· ἐκεῖνον δέ, εἰ μὲν ἄρχων εἴη, κελεύειν ἐκ τόπου παντὸς ἄγεσθαι τὸν ἐναχθέντα, ὡς καὶ ἐπιορκεῖν, καὶ σχεδὸν ἑαυτοῦ κατήγορον τῇ φυγῇ γενόμενον· εἰ δὲ οὐκ ἄρχοι, δοθείη δὲ ἔκ τινος δικαστής, εἴτε ἐκ θείου τύπου τυχόν, ἢ κελεύσεως, ἢ καὶ παρά τινος ἄρχοντος, ἐπ᾽ ἐκεῖνον μηνύειν, ὥστε ἄγεσθαι παρ᾽ ἐκείνου, καὶ μὴ τὸ πρᾶγμα μένειν τῷ διώκοντι πανταχόθεν ἄπορον οὔτε τοῦ δικαστοῦ πρᾶξαί τι δυναμένου, διὰ τὸ μήπω γενέσθαι παρ᾽ αὐτῷ προκατάρξιν, ἐκείνου τε καταφρονοῦντος τοῦ νόμου καὶ τῆς διωμοσίας τῆς ἑαυτοῦ, καὶ τὸν διώκοντα πάσης ἐκτὸς νομίμου βοηθείας ἀπολιμπάνοντος. Ὅπως ἂν δὲ ἢ μὴ λανθάνοντος αὐτοῦ, καὶ βραδυνούσης τῆς παραστάσεως, τὸ πρᾶγμα μένοι μετέωρον, ἐξεταζέτω παχυμερῶς ὁ δικαστὴς ὅποι γῆς ἀπεληλυθέναι λέγεται, καὶ διδότω προθεσμίαν ῥητήν, ὥστε εἰ μὴ εἴσω ταύτης ἀπαντήσειεν (ἐλευθέραν μέντοι τούτου παρρησίαν ἔχων, ἀλλὰ μή, ὡς εἰκός, ἐξεπίτηδες παρὰ τοῦ διώκοντος καθειργμένος, ἢ κωλυόμενος ἐλθεῖν) τηνικαῦτα κατὰ μίαν μοῖραν ἐξεταζέτω τὴν ὑπόθεσιν. καὶ ἐπὶ νομῆς πεμπέτω τὸν διώκοντα τῶν αὐτοῦ πραγμάτων, πρὸς τὸ μέτρον τοῦ διαφαινομένου χρέους· ὥστε αὐτὸν εἰς νομὴν πεμφθέντα, ἔχειν τὰ πράγματα χρέους ἕνεκεν φυλακτέου. καὶ τηνικαῦτα εἴπερ ἐκεῖνος ἀπαντήσειε, πᾶσαν αὐτῷ πρότερον θεραπεύειν τὴν ζημίαν, οὕτω τε ἀπολαμβάνοντα τὰ πράγματα, καὶ ἐγγυητὴν παρασχόμενον, ἀγωνίσασθαι τὴν ὑπόθεσιν. Καλὸν δὲ ἂν εἴη καὶ τοῦτο, πρὸς τὴν τῶν ἀμφισβητουμένων ζήτησιν, νόμῳ κοινῷ διορίσασθαι. πρότερον μὲν γὰρ γεγόνασιν ἀμφισβητήσεις πολλαί, πότερον δεῖ τὰς στρατείας ὑπὸ τοὺς τῆς ὑποθήκης ἄγεσθαι δεσμούς, ἢ τούτων ἐλευθέρας εἶναι. ἀλλὰ τοῦτο μὲν ἤδη κέκριται νόμῳ, καὶ πρόδηλοι καθεστᾶσιν αἱ στρατεῖαι ὁπόσαι, διὰ τὸ πιπράσκεσθαι, καὶ ὑποτίθεσθαι δύναιντο. ἡμεῖς δὲ τὸ πρᾶγμα ἐκ μειζόνων θεωροῦντες, ἴσμεν ὡς ἐκ τῶν παλαιῶν χρόνων οὐκ ἦν ἐπὶ ταῖς στρατείαις ὑποθήκη, ἀλλά τινα ὀνόματα παντελῶς ἀρχαῖα καὶ ἐκλελοιπότα ἐν τοῖς τοιούτοις ἐφέρετο. κατὰ μικρὸν δὲ οἱ αὐτοκράτορες τοὺς προσιόντας τῶν δανειστῶν ἐλεοῦντες, ταῦτα ἐδίδοσαν. καίτοι πάσης στρατείας δημοσίας οὔσης, καὶ οὐδένα πόρον παντελῶς ἕτερον ἢ τὸν ἐκ βασιλικῆς φιλοτιμίας ἐχούσης. Διὰ τοῦτο τοίνυν θεσπίζομεν, τὰς ἐκ τοῦ καλουμένου κάστου στρα-



Universidad Carlos III de Madrid. Biblioteca

τείας μὴ πάντη παρὰ χεῖρας ὑποκεῖσθαι, πλὴν εἰ μὴ δημευθεὶς εἴη ὁ εἰς αὐτὴν τοῦτο δανείσας, ἐφ' ᾧ τῆς στρατείας ἐκεῖνον τυχεῖν. ἐπεί τοιγε τοῖς ἄλλοις δανεισταῖς οὐ παραχεῖρας δίδομεν τοῦτο· ἀλλ' εἰ μὲν παῖδες ὦσιν ἢ γαμετὴ τῷ τελευτήσαντι, τούτους πᾶσι προκρίνομεν ἑτέροις, ὥστε προσιέναι τε ἡμῖν, καὶ κατὰ κέλευσιν ἡμετέραν ταῦτα κομίζεσθαι, οὐχ ὡς πατρῷον κλῆρον, εἴγε τὰ ἄλλα ἄπορος εἴη, ἀλλὰ βασιλικὴν φιλοτιμίαν· ἵνα καὶ τοῖς οὐσίαν καταλιμπάνουσι καὶ τοῖς οὐκ ἔχουσι τὰ εἰκότα βοηθήσαιμεν. Εἰ μέντοι οὐδεὶς αὐτοῖς οὔτε παῖς οὔτε γυνὴ καθεστήκοι, οὐδὲ δημευθεὶς ὁ εἰς αὐτὴν τὴν στρατείαν δανείσας, τηνικαῦτα καὶ τοῖς ἄλλοις δανεισταῖς μεταδίδομεν τῆς τοιούτων· ἵνα μὴ δόξαιμεν ἀπάνθρωπόν τι ποιεῖν, καὶ οὐ δι' εὐσεβῆ καὶ θεῷ ἀρέσκουσαν πρᾶξιν τιθέναι τὸν νόμον. τὰ περὶ τῆς στρατείας τῶν περιβλέπτων σιλεντιαρίων ἰδικῶς δεδομένων καὶ πεφιλοτιμημένων αὐτοῖς προνομίων, ἐπὶ τῆς ἰδίας ἰσχύος μενόντων. Ἐπειδὴ δὲ πρὸς φιλανθρωπίαν ἅπας ἡμῖν ὁ νόμος ἥρμοσται, ὁρῶμεν δέ τινας συνοικοῦντας γυναιξὶ προικώων χωρὶς, εἶτα τελευτῶντας, καὶ τοὺς μὲν παῖδας ἐκ τοῦ νόμου καλουμένους πρὸς τὸν πατρῷον κλῆρον, τὰς δὲ γυναῖκας, κἂν εἰ μυριάκις ἐν τάξει νομίμης γαμετῆς συνῳκήκασιν, ἀλλ' οὖν διὰ τὸ μὴ γενέσθαι μήτε προῖκα μήτε προγαμιαίαν δωρεὰν, μηδὲν ἔχειν δυναμένας, ἀλλ' ἐσχάτῃ συζώσας ἀπορίᾳ· διὰ τοῦτο θεσπίζομεν πρόνοιαν γενέσθαι τούτων, καὶ ἐν τῇ διαδοχῇ τοῦ τελευτήσαντος, καὶ τὴν τοιαύτην γαμετὴν μετὰ τῶν παίδων καλεῖσθαι. καὶ ὥσπερ ἐγράψαμεν νόμον βουλόμενοι, εἴπερ ἄπροικον οὖσαν τὴν γαμετὴν ὁ ἀνὴρ ἀποπέμψειε, τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας λαμβάνειν αὐτὴν, οὕτω κἀνταῦθα, ἐπειδήπερ εἰκὸς ὀλίγους ἢ πλείους εἶναι παῖδας, τὴν τετάρτην τῆς περιουσίας μοῖραν κομίζεσθαι τὴν γυναῖκα, εἴτε πλείους εἴτε ἐλάττους οἱ παῖδες εἶεν. Εἰ μέντοι πρεσβεῖόν τι καταλίποι αὐτῇ ὁ ἀνὴρ ἔλαττον τῆς τετάρτης μοίρας, ἀναπληροῦσθαι τοῦτο. ἵνα, καθάπερ ἀδικουμέναις αὐταῖς ἐβοηθήσαμεν, εἴπερ ἀποπεμφθεῖεν παρὰ τῶν ἀνδρῶν ἄπροικοι καθεστῶσαι, οὕτω κἂν εἰ μένοιεν μέχρι παντὸς παρ' αὐτοῖς, τῆς αὐτῆς ἀπολαύσωσι προνοίας. δηλαδὴ πάντων κατὰ μίμησιν ἐκείνης ἡμῶν τῆς διατάξεως τῆς τὸ τέταρτον ἀφοριζούσης αὐταῖς, κἀνταῦθα κρατούντων, ὁμοίως μὲν ἐπὶ τῶν ἀνδρῶν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν γυναικῶν. κοινὸν γὰρ καὶ τοῦτον ἐπ' αὐτοῖς τίθεμεν τὸν νόμον, ὥσπερ δὴ καὶ τὸν ἔμπροσθεν. Εἰ μέντοι τινὰ ἴδια ἡ γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἢ ἀλλαχόσε ἀποκείμενα ἔχοι, τούτων τὴν εἴσπραξιν καὶ παρακατάσχεσιν ἐχέτω πᾶσι ἑτέροις ἀμείωτον· ὑποκεῖσθαι τοιούτων πραγμάτων τοῖς τοῦ ἀνδρὸς δανείσμασι κατ' οὐδὲν δυναμένων, πλὴν εἰ μὴ καθ' ὅσον τῶν ἐκείνου δικαίων ἐκ τοῦδε τοῦ νόμου συγκληρονομεῖ. ταῦτα δέ φαμεν, εἴπερ τῶν συνοικούντων θάτερος προῖκά τε καὶ προγαμιαίαν δωρεὰν μὴ ποιησαμένων, ἄπορος ὁ ἀνὴρ ἢ ἡ γυνὴ διαφαίνηται· ὥστε τὸν μὲν τελευτῶντα ἢ τὴν τελευτῶσαν, εὔπορον εἶναι, τὸν δὲ περιόντα ἢ τὴν περιοῦσαν πένεσθαι. ἐπεί τοιγε εἴπερ ἀλλαχόθεν ἴσως εὐποροίη, τὴν οὐκ εἰσενεγκοῦσαν προῖκα ἢ τὸν οὐκ ἐπιδόντα τὴν διὰ γάμον δωρεὰν οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ συνοικήσαντος. διότι νόμος ἄλλος ἐστὶν ἡμέτερος, τὴν προῖκα μὴ εἰσενεγκαμένην, μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ προγαμιαίας δωρεᾶς· ὅπερ κἀνταῦθα βουλόμεθα κρατεῖν. πλὴν εἰ μὴ αὐτὸς ὁ ἀνὴρ ἢ πρεσβεῖον αὐτῇ ἤ τι μέρος τῆς ὑποστάσεως καταλίποι. γίνεσθαι γὰρ τοῦτο κατ' οὐδένα βασκαινόμενον τρόπον, ἵνα διὰ πάντων ἡμῖν σύμφωνα τὰ τῶν νόμων τηροῖτο, καὶ ἡ ἀπορία τοῦ συνοικήσαντος παρὰ τῆς εὐπορίας τῆς θατέρου θεραπεύοιτο. Τὰ τοίνυν πα-

Universidad Carlos III de Madrid. Biblioteca

ἐραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ κρατεῖν καὶ πέρατι παραδιδόναι σπευδέτω, διὰ τῶν παρ' αὐτῆς γινομένων κηρυγμάτων ἅπασιν αὐτὰ καθιστῶσα φανερά· ὥστε αὖθις κατὰ ταῦτα ζῆν τε καὶ πολιτεύεσθαι. DAT. K. OCT. CONSTANTINOP. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BILIS. V. C. CONS. ANN. II.

## Περὶ τοῦ τὴν τῶν ἐναπογράφων διάταξιν χώραν ἔχειν ἀφ' οὗ ἐξεφωνήθη. καὶ Περὶ τοῦ παντὶ εὐκτηρίῳ οἴκῳ καὶ ἑτέρῳ τόπῳ εὐσεβεῖ ἐξεῖναι πρὸς τὰ ὅμοια ποιεῖσθαι ἐναλλαγὰς τῶν ἀκινήτων κτήσεων, δεκρέτου πραττομένου. Διάταξις νη'.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἘΝδοξοτάτῳ ὑπάρχῳ πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΕΝ τινι τῶν ἡμετέρων διατάξεων, οὐδὲν ἀσαφὲς ἐχούσῃ, κεκίνηται ζήτησις, τινῶν ἐξεπίτηδες καὶ πρὸς τὸν ἑαυτῶν σκοπὸν ἀσάφειαν ἐπαγόντων αὐτῇ. ἐλευθερίας γὰρ ὄντες ἐρασταί, ἔναγχος τεθείκαμεν νόμον ὥστε μή, κατὰ τὸ παλαιόν, εἰ ἐξ ἐναπογράφου καὶ ἐλευθέρου προσώπου προέλθοι γονή, πάντως αὐτὴν ἀκολουθεῖν τῇ ἐναπογράφῳ τύχῃ· ἀλλὰ κατὰ τὴν τῆς δουλικῆς τύχης παρατήρησιν, οὕτω καὶ ἐπὶ τῶν ἐναπογράφων νομίζεσθαι, καὶ πρὸς τὴν τῆς γαστρὸς κατάστασιν καὶ τὴν τοῦ τεχθέντος κανονίζεσθαι τύχην. ἐξ ἐλευθέρας γὰρ μηδαμῶς προελθεῖν δοῦλον βρέφος ὁ ἡμέτερος οὐ ποιῶν οὐκ ἠβουλήθη νόμος. ὥστε ἐφήσαμεν ἐν τῷ νόμῳ, εἴτε τινὲς συνοικοῦσι γυναιξίν, εἴτε καὶ συνοικήσαιεν, εἶτα παιδοποιήσαιεν, οὕτω τὸν νόμον ἐπὶ τοῖς τικτομένοις κρατεῖν. τινὲς δὲ οὕτως ἀνοήτως ἢ κακούργως ἑρμηνεύειν ἐπεχείρησαν τὸν νόμον, ὥστε κἂν εἰ πρὸ τῆς διατάξεως ἐτέχθησαν τινές, κἂν εἰ σφόδρα εἶεν πρεσβῦται, νομίζειν αὖθις ἐλευθεροῦσθαι, ὥσπερ ἄρτι τικτομένους, ἀλλ' οὐ μακρῷ προειληφότας τὸν νόμον. καίτοιγε ἡμεῖς ταύτην ἔχομεν ἔννοιαν, ὥστε εἴτε συνοικοῦσιν ἤδη τινὲς γαμεταῖς, εἶτα μετὰ τὸν νόμον παιδοποιήσονται, εἴτε μὴ συνοικοῦσι μέν, ὕστερον δὲ γήμαιεν, τὸ μετὰ τὸν νόμον τικτόμενον ἔχειν τὴν ἐκ τοῦ νόμου δεδομένην ἐλευθερίαν.

Ἵνα μὴ τοίνυν ἐξῇ τεχνάζειν καὶ κακουργεῖν, καὶ τοὺς τῶν χωρίων βλάπτειν δεσπότας ταῖς τοιαύταις ἑρμηνείαις, διὰ τοῦτο θεσπίζομεν, πάντας τοὺς τεχθέντας ἐκ τοῦ καιροῦ τοῦ νόμου, τούτους καὶ μόνους ἐλευθέρους ἐναπογράφου τύχης εἶναι, εἴπερ ἐξ ἐλευθέρων γένοιντο μητέρων· πάντως τοῦ προειληφότος τῷ παλαιῷ πεφυλαγμένου νόμῳ. Ἐπειδὴ δὲ ἔναγχος νόμον ἐγράψαμεν, θεραπεύοντες κατά τι τὰ περὶ τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων, καὶ βουλόμενοι, εἰ μὲν δημόσιον ὄφλημα εἴη, δύνασθαι αὐτὰς καὶ ἐκποιεῖν, σὺν ἀκριβείᾳ μέντοι πάσῃ, κατὰ τὴν τοῦ νόμου παρατήρησιν· εἰ δὲ ἰδιωτικὸν χρέος, pro soluto διδόναι πρᾶγμα ἀκίνητον, καὶ κατὰ μηδὲν δοκεῖν προσκρούειν τῷ προτεθέντι νόμῳ, τῷ πᾶσαν ἐκποίησιν εἴργοντι· κἀκεῖνο προστίθεμεν, ὥστε εἰ κατά τινα ἀπαραίτητον πρόφασιν, καὶ συμφέρουσαν τῷ τε διδόντι, τῷ τε λαμβάνοντι εὐκτηρίῳ οἴκῳ, τουτέστιν ἡ ἐκκλησία πρὸς ἐκκλησίαν, ἢ πτωχείῳ πρὸς πτωχεῖον, ἢ ξενῶνι πρὸς ξενῶνα, καὶ ἁπλῶς εὐαγεῖ οἴκῳ πρὸς ἕτερον σεβάσμιον οἶκον, τουτέστιν ἡ ἐκκλησία πρὸς πτωχεῖον, ἢ μοναστηρίῳ πρὸς εὐκτήριον οἶκον, ἢ ξενῶνα, ἢ νοσοκομεῖον, ἢ ἐκείνοις πρὸς ἐκκλησίαν, ἢ πρὸς ἄλληλα, ἢ πρὸς ἓν τῶν ἔμπροσθεν ἡμῖν ἠριθμημένων, ἢ ἑτέρῳ οἱῳδήποτε εὐαγεῖ οἴκῳ,



Universidad Carlos III de Madrid. Biblioteca

ἄδειαν δίδομεν τοῖς προεστῶσιν αὐτῶν διὰ τοῦδε τοῦ νόμου, ἄμειψιν ποιεῖσθαι, καὶ τοῦτο πολιτεύεσθαι· καὶ μὴ μόνην τὴν βασιλείαν, καθάπερ ὁ πρότερος ἔλεγε νόμος, ἄδειαν ἔχειν ἀμείβειν, ἀλλὰ καὶ τοὺς εὐαγεῖς οἴκους τοὺς ὑπὸ βασιλεῖ πάντων αἰρουμένους θεῷ. οὕτω μέντοι ὥστε καὶ δέκρετον πράττεσθαι σὺν ἀκριβείᾳ πάσῃ καὶ μεθ' ὅρκου, καὶ παρά τινι τῶν τόπων μεγαλοπολίτῃ ταῦτα σκοπεῖσθαι. καὶ εἴπερ ταῖς ἀληθείαις ἀποδειχθείη μεθ' ὅρκου ὡς συμφέρον ἐστὶν ἑκατέρῳ μέρει τὸ τοιοῦτο, πράττεσθαί τε αὐτὸ καὶ πολιτεύεσθαι καὶ κρατεῖν, καὶ μὴ δεῖσθαι μηδὲ ἰδικῆς κελεύσεως, μηδὲ θείου πραγματικοῦ τύπου. ἐχόντων μέντοι τῶν εἰς τοῦτο ἐρχομένων τὴν ἐκ τοῦ μεγάλου θεοῦ κρίσιν, εἴ τι παραβαῖεν τοῦ προσήκοντος, ἢ εἴ τις συμπαιγνία γένοιτο, ἢ τι παρὰ τὸ συμφέρον ἑκατέρῳ πράττοιτο μέρει. καὶ γὰρ δὴ καὶ ἀραὶ τούτοις ἁπάντων ἐπικείσονται φοβερώταται, καὶ ἃς τὰ θεῖα τοῖς ἁμαρτάνουσιν ἐπάγει λόγια. τῶν τε νῦν διατεταγμένων εἴ τι παραβαθείη καὶ ὕστερον διελεγχθείη κακούργως γενόμενον, ἀντὶ μηδὲ γεγονότος ἔσται. Ἐξαιροῦμεν δὲ καὶ τούτου τοῦ νόμου τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ὥσπερ καὶ τοῦ πρόσθεν. ἐκείνην γὰρ ἐπὶ τῆς προτέρας κωλύσεως τῶν ἐκποιήσεων ἐᾶσαι βουλόμεθα, διότι τοῦτο καὶ αὐτοῖς τοῖς προεστῶσιν αὐτῆς ὁσιωτάτοις ἀνδράσι δοκεῖ. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ καλῶς ἡμῖν καὶ ὁσίως παραστάντα, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἐν ἅπασι τοῖς ἔθνεσιν οἷς ἄρχει, διὰ κηρυγμάτων οἰκείων, κατὰ τὸ συνῆθες, φανερὰ ποιησάτω. DAT. XV. K. SEPT. CONSTANT. IMP. DN. IVST. ANN. XI. POST BIL. V. C. CONS. ANN. II.

## Περὶ ἀμείψεως πραγμάτων ἐκκλησιαστικῶν, καὶ ἐμφυτεύσεως. Διάταξις νε.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ ΑΓΙΩτάτῳ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΝΟΜΟΝ ἐγράψαμεν ἤδη τὰς μὲν ἐκκλησιαστικὰς ἐκποιήσεις κωλύοντα, μόνην δὲ ἄμειψιν ἐπιτρέποντα ταῖς ἁγιωτάταις ἐκκλησίαις, καὶ πρός γε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, τῇ κατὰ ταύτην οὖσαν τὴν εὐδαίμονα πόλιν, ἡνίκα ἡ βασιλεία λαβεῖν τι παρά τινος τῶν εὐαγῶν οἴκων βουληθείη. ὕστερον μὲν οὖν ἕτερον ἐγράψαμεν νόμον, ὅνπερ ἐξείλομεν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ἐπιτρέψαντες τινὰς ἐκποιήσεις ἅσπερ ἐκεῖνος ὁ νόμος λέγει. Ἐπειδὴ δὲ ἔγνωμεν ὡς τινὲς τὸ τῆς προτέρας διατάξεως κεφάλαιον, ὅπερ ἐπὶ ἀμείψει διαφερόντων τοῖς εὐαγέσιν οἴκοις πραγμάτων πρὸς τὴν βασιλείαν ἐγράψαμεν, εἰς τὴν κατὰ τοῦ νόμου τέχνην ἔτρεψαν, ᾐτήσαντο δὲ ὥστε ἡμᾶς μὲν παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας λαβεῖν, αὐτοῖς δὲ ταῦτα δοῦναι, ἐντεῦθεν δὲ ὡρμήθησαν πολλοὶ, ταῖς ὁμοίαις αἰτήσεσι χρώμενοι, τὴν θείαν περιγράφειν διάταξιν· τὰ μὲν ὅσα πέπρακται παρ' ἡμῶν μέχρι τῆς παρούσης ἡμέρας, ταῦτα ἐπὶ τοῦ νῦν μένειν σχήματος βουλόμεθα (οὐδενὸς ἀνατρεπομένου τῶν ἤδη παρ' ἡμῶν πρὸς τὴν ἁγιωτάτην ἐκκλησίαν ἐπὶ τοῖς τοιούτοις συναλλάγμασι πραχθέντων, ἢ πρὸς αὐτοὺς οἵπερ ταῦτα παρ' ἡμῶν εἰλήφασι) τοῦ λοιποῦ δὲ θεσπίζομεν μηδενὶ παντελῶς μηδεμίαν εἶναι παρρησίαν τοιοῦτό τι πράττειν, ἀλλ' ἐκείνας μόνας ἐρρῶσθαι τὰς ἀμείψεις τὰς πρὸς τὴν βασιλικὴν οἰκίαν ἐπὶ τούτῳ γινομένας, ὥστε διηνεκῶς παρὰ τῇ βασιλείᾳ μένειν, καὶ μὴ μεταβάλλειν εἰς ἰδιώτην, μηδὲ τῆς ἐκείνου γίνεσθαι δεσποτείας, διὰ μέσης τῆς βασιλείας ἐπ' αὐτὸν ὁδευούσας. δὴ εἴ τι γένοιτο τοιοῦτον, ἄδειαν

διδομένων τοῖς εὐλαβεστάτοις οἰκονόμοις, τῶν πραγμάτων ἐπιλαμβάνεσθαι τούτων, καὶ ἀφέλκειν αὐτὰ πάλιν εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐτύγχανεν ἀμειψίς τις ἐπὶ τούτοις πρὸς τὴν βασιλείαν γενομένη. ἀλλὰ φυλαττέσθω τοῦτο τὸ σχῆμα εἰς τὸ διηνεκὲς, ἐκ τῆς παρούσης ἡμέρας ἀρχόμενον· πάντων τῶν ἤδη (καθάπερ εἰπόντες ἔφθημεν) μετὰ τὸν πρότερον νόμον κατὰ τὸν εἰρημένον γενομένων τρόπον, βεβαίων μενόντων· διὰ τὸ ἐκεῖνα μὲν τὰ οὕτω γενόμενα, παρὰ ἀνδρῶν γενέσθαι οἵπερ οὐ τεχνάζοντες οὐδὲ κακουργοῦντες ἐποίουν, ἀλλὰ καὶ παρὰ ἡμῶν εἰς τοῦτο προτραπέντες ἦλθον. νῦν δὲ τινὰς βούλεσθαι, τῷ ἐκείνων παραδείγματι χρωμένους, ἡμᾶς τε διενοχλεῖν, καὶ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ταύτης πόλεως περιγράφειν. ὅπερ εἰς τὸν ἅπαντα χρόνον κατ' οὐδένα τρόπον γίνεσθαι βουλόμεθα. ἀλλὰ κἂν εἰ καθ' οἱονδήποτε γένοιτο σχῆμα, καὶ τοῦτο ἄκυρον ἔστω, παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἰς τὸ διηνεκὲς ἐκδικεῖσθαι δυνάμενον, οὐδεμιᾶς αὐτῇ χρόνου παραγραφῆς πρὸς τοῦτο ἀντικειμένης. Κἀκεῖνο μέντοι θεσπίζομεν, ὥστε τῶν ἄλλων ἁπάντων τῶν περὶ ἐμφυτεύσεων νενομοθετημένων ἐπί τε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἐπί τε τοῖς ἄλλοις ἅπασιν εὐαγέσιν οἴκοις, τὴν ἰδίαν ἐχόντων ἰσχὺν, ἄδειαν εἶναι ταῖς ἁγιωτάταις ἐκκλησίαις, καὶ τοῖς εὐαγέσιν οἴκοις, πρὸς ἀλλήλας καὶ ἐμφυτεύσεις πράττειν διηνεκεῖς, δεκρέτου δηλαδὴ καὶ ἐπὶ τούτῳ γιγνομένου· ἐξῃρημένης μὲν κἀνταῦθα τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· ἐπὶ τούτῳ δὲ γινομένης τῆς ἐμφυτεύσεως, ἐφ' ᾧ μὴ εἰς ἰδιωτικὸν πρόσωπον ἐκταθῆναι παντελῶς δυνηθῆναι. Ἡ τοίνυν σὴ μακαριότης τὰ παραστάντα ἡμῖν καὶ φυλαξάτω, καὶ τοῖς ὑπ' αὐτὴν τοὺς μητροπολιτικοὺς θρόνους ἔχουσι φανερὰ καταστησάτω· ὥστε καὶ αὐτοὺς τὰ ἡμῖν παραστάντα γινώσκοντας, μηδὲν τούτων παραβῆναι θαρρῆσαι. ἔσται γὰρ ἅπασιν ἡ παρὰ τοῦ θεοῦ κρίσις καὶ ἡ ἐκεῖθεν ποινὴ, εἴ τι παρὰ ταῦτα ἢ αὐτοὶ πράξαιεν, ἢ πραχθῆναι συγχωρήσαιεν. DAT. XV. K. NOV. CONSTANTINOP. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BILIS. V. C. CONS.

## Ὥστε τὰ καλούμενα ἐμφανιστικὰ τῶν κληρικῶν ἐπὶ μὲν τῆς μεγάλης ἐκκλησίας δίδοσθαι, ἐπὶ δὲ τῶν ἄλλων ἐκκλησιῶν μὴ παρέχεσθαι. Διάταξις νϛ.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ ΑΓΙΩΤΑΤΩ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΠΑΡΑ πολλῶν προσελεύσεις δεχόμενοι, τόνδε τὸν νόμον πρὸς τὴν σὴν καταπέμψαι μακαριότητα δίκαιον ἡγησάμεθα. οἱ γὰρ χειροτονούμενοι παρὰ τῆς σῆς θεοφιλίας κληρικοὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις (χωρὶς μέντοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας) τὰ πάντων πάσχουσι δεινότατα, μὴ προσδεχομένων αὐτοὺς τῶν ἐκεῖσε κληρικῶν, πρὶν ὅσον ἂν βουληθεῖεν λάβοιεν χρυσίον. καὶ ἴσμεν ταῦτα ἐκ συχνῶν προσελεύσεων περὶ τούτου γενομένων ἡμῖν. θεσπίζομεν τοίνυν, τὴν μακαριότητα τὴν σὴν τοῦτο ἐρρωμενέστατα φυλάξαι, καὶ εἴ τι μὲν εἰωθός ἐστι διδόναι τοὺς καταταττομένους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, τοῦτο αὐτοὺς παρέχειν (οὐδὲ

Universidad Carlos III de Madrid. Biblioteca

ἄδειαν δίδομεν τοῖς προεστῶσιν αὐτῶν διὰ τοῦδε τοῦ νόμου, ἄμειψιν ποιεῖσθαι, καὶ τοῦτο πολιτεύεσθαι· καὶ μὴ μόνην τὴν βασιλείαν, καθάπερ ὁ πρότερος ἔλεγε νόμος, ἄδειαν ἔχειν ἀμείβειν, ἀλλὰ καὶ τοὺς εὐαγεῖς οἴκους τοὺς τῶν βασιλέων πάντων αἱρεθέντας θεῷ. οὕτω μέντοι ὥστε καὶ δέχεσθαι πράττεσθαι σὺν ἀκριβείᾳ πάσῃ καὶ μεθ' ὅρκου, καὶ παρὰ τῷ τὸν τόπον μητροπολίτῃ ταῦτα σκέπτεσθαι. καὶ εἴπερ ταῖς ἀληθείαις ἀποδειχθείη μεθ' ὅρκου ὡς συμφέρον ἐστὶν ἑκατέρῳ μέρει τὸ τοιοῦτο, πράττεσθαί τε αὐτὸ καὶ πολιτεύεσθαι καὶ κρατεῖν, καὶ μὴ δεῖσθαι μηδὲ ἰδικῆς κελεύσεως, μηδὲ θείου πραγματικοῦ τύπου. ἐχόντων μέντοι τῶν εἰς τοῦτο ἐρχομένων τὴν ἐκ τοῦ μεγάλου θεοῦ κρίσιν, εἴ τι παραβαῖεν τοῦ προσήκοντος, ἢ εἴ τις συμπαιγνία γένοιτο, ἢ τι παρὰ τὸ συμφέρον ἑκατέρῳ πράττοιτο μέρει. καὶ γὰρ δὴ καὶ χωρὶς τούτοις ἁπάντων ἐπικεῖσθαι φοβερώτατα, καὶ ὡς τὰ θεῖα τοῖς ἁμαρτάνουσιν ἐπαγγέλλεται λόγια. τῶν τε νῦν διατεταγμένων εἴ τι παραβαθείη καὶ ὕστερον διελεγχθείη κακούργως γενόμενον, ἀντὶ μηδὲ γεγονότος ἔσται. Ἐξαιροῦμεν δὲ καὶ τούτου τοῦ νόμου τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ὥσπερ καὶ τοῦ πρόσθεν. ἐκείνην γὰρ ἐπὶ τῆς προτέρας κωλύσεως τῶν ἐκποιήσεων ἑστάναι βουλόμεθα, διότι τοῦτο καὶ αὐτοῖς τοῖς προεστῶσιν αὐτῆς ὁσιωτάτοις ἀνδράσι δοκεῖ. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ καλῶς ἡμῖν καὶ ὁσίως παραστάντα, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἐν ἅπασι τοῖς ἔθνεσιν οἷς ἄρχει, διὰ κηρυγμάτων οἰκείων, κατὰ τὸ συνῆθες, φανερὰ ποιησάτω. DAT. XV. K. SEPT. CONSTANT. IMP. DN. IVST. ANN. XI. POST BIL. V. C. CONS. ANN. II.

## Περὶ ἀμείψεως πραγμάτων ἐκκλησιαστικῶν, καὶ ἐμφυτεύσεως. Διάταξις νε.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ ΑΓΙΩΤΑΤΩ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΝΟΜΟΝ ἐγράψαμεν ἤδη τὰς μὲν ἐκκλησιαστικὰς ἐκποιήσεις κωλύοντα, μόνην δὲ ἄμειψιν ἐπιτρέποντα ταῖς ἁγιωτάταις ἐκκλησίαις, καὶ πρός γε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, τῇ κατὰ ταύτην οὔσῃ τὴν εὐδαίμονα πόλιν, ἡνίκα ἡ βασιλεία λαβεῖν τι παρά τινος τῶν εὐαγῶν οἴκων βουληθείη. ὕστερον μὲν οὖν ἕτερον ἐγράψαμεν νόμον, ὅσπερ ἐξείλομεν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ἐπιτρέψαντες τινὰς ἐκποιήσεις ἅσπερ ἐκεῖνος ὁ νόμος λέγει. Ἐπειδὴ δὲ ἔγνωμεν ὥς τινες τὸ τῆς προτέρας διατάξεως κεφάλαιον, ὅπερ ἐπὶ ἀμείψει διαφερόντων τοῖς εὐαγέσιν οἴκοις πραγμάτων πρὸς τὴν βασιλείαν ἐγράψαμεν, εἰς τὴν κατὰ τοῦ νόμου τέχνην ἔτρεψαν, ᾐτήσαντο δὲ ὥστε ἡμᾶς μὲν παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας λαβεῖν, αὐτοῖς δὲ ταῦτα δοῦναι, ἐντεῦθεν δὲ ὡρμήθησαν πολλοί, ταῖς ὁμοίαις αἰτήσεσι χρώμενοι, τὴν θείαν παραγράφειν διάταξιν· τὰ μὲν ὅσα πέπρακται παρ' ἡμῶν μέχρι τῆς παρούσης ἡμέρας, ταῦτα ἐπὶ τοῦ νῦν μένειν σχήματος βουλόμεθα (οὐδενὸς ἀνατρεπομένου τῶν ἤδη παρ' ἡμῶν πρὸς τὴν ἁγιωτάτην ἐκκλησίαν ἐπὶ τοῖς τοιούτοις συναλλάγμασι πραχθέντων, ἢ πρὸς αὐτοὺς οἵπερ ταῦτα παρ' ἡμῶν εἰλήφασι) τοῦ λοιποῦ δὲ θεσπίζομεν μηδενὶ παντελῶς μηδεμίαν εἶναι παρρησίαν τοιοῦτό τι πράττειν, ἀλλ' ἐκείνας μόνας ἐρρῶσθαι τὰς ἀμείψεις τὰς πρὸς τὴν βασιλικὴν οἰκίαν ἐπὶ τούτῳ γινομένας, ὥστε διηνεκῶς παρὰ τῇ βασιλείᾳ μένειν, καὶ μὴ μεταβάλλειν εἰς ἰδιώτην, μηδὲ τῆς ἐκείνου γίνεσθαι δεσποτείας, διὰ μέσης τῆς βασιλείας ἐπ' αὐτὸν ὁδευούσας· ἀλλ' εἴ τι γένοιτο τοιοῦτον, ἄδειαν

Universidad Carlos III de Madrid. Biblioteca

διδομένου τοῖς εὐλαβεστάτοις οἰκονόμοις, τῶν πραγμάτων ἐπιλαμβάνεσθαι τούτων, καὶ ἀφέλκειν αὐτὰ πάλιν εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐπιγενομένη ἀμείψις τις ἐπὶ τούτοις πρὸς τὴν βασιλείαν γενομένη. ἀλλὰ φυλάττεσθαι τοῦτο δὴ τὸ σχῆμα εἰς τὸ διηνεκές, ἐκ τῆς παρούσης ἡμέρας ἀρχόμενον· πάντων τῶν ἤδη (καθάπερ εἰπόντες ἔφθημεν) μετὰ τὸν πρότερον νόμον κατὰ τὸν εἰρημένον γενομένων τρόπον, βεβαίων μενόντων· διὰ δὲ ἐκεῖνα μὲν τὰ οὕτω γενόμενα, παρὰ τῶν ἀνδρῶν γενέσθαι, οἵπερ οὐ τεχνάζοντες οὐδὲ κακουργοῦντες ἐποίουν, ἀλλὰ καὶ παρ' ἡμῶν εἰς τοῦτο προτραπέντες ἦλθον. νῦν δέ τινας βούλεσθαι, τῷ ἐκείνων παραδείγματι χρωμένους, ἡμᾶς τε διενοχλεῖν, καὶ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ταύτης πόλεως περιγράφειν. ὅπερ εἰς τὸν ἅπαντα χρόνον κατ' οὐδένα τρόπον γίνεσθαι βουλόμεθα. ἀλλὰ κἂν εἰ καθ' οἱονδήποτε γένοιτο σχῆμα, καὶ τοῦτο ἄκυρον ἔστω), παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἰς τὸ διηνεκὲς ἐκδικεῖσθαι δυνάμενον, οὐδεμιᾶς αὐτῇ χρόνου παραγραφῆς πρὸς τοῦτο ἀντικειμένης. Κἀκεῖνο μέντοι θεσπίζομεν, ὥστε τῶν ἄλλων ἁπάντων τῶν περὶ ἐμφυτεύσεων νενομοθετημένων ἐπί τε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἐπί τε τοῖς ἄλλοις ἅπασιν εὐαγέσιν οἴκοις, τὴν ἰδίαν ἐχόντων ἰσχύν, ἀδεῶς ἐξεῖναι ταῖς ἁγιωτάταις ἐκκλησίαις, καὶ τοῖς εὐαγέσιν οἴκοις, πρὸς ἀλλήλας καὶ ἐμφυτεύσεις πράττειν διηνεκεῖς, δεκρέτου δηλαδὴ καὶ ἐπὶ τούτῳ γιγνομένου· ἐξῃρημένης μὲν κἀνταῦθα τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· ἐπὶ τούτῳ δὲ γινομένης τῆς ἐμφυτεύσεως, ἐφ' ᾧ μὴ εἰς ἰδιωτικὸν πρόσωπον ἐκταθῆναι παντελῶς δυνηθῆναι. Η τοίνυν σὴ μακαριότης τὰ παραστάντα ἡμῖν καὶ φυλαξάτω, καὶ τοῖς ὑπὸ αὐτὴν τοὺς μητροπολιτικοὺς θρόνους ἔχουσι φανερὰ καταστησάτω· ὥστε καὶ αὐτοὺς τὰ ἡμῖν παραστάντα γινώσκοντας, μηδὲν τούτων παραβῆναι θαρρῆσαι. ἔσται γὰρ ἅπασιν ἡ παρὰ τοῦ θεοῦ κρίσις καὶ ἡ ἐκεῖθεν ποινή, εἴ τι παρὰ ταῦτα ἢ αὐτοὶ πράξαιεν, ἢ πραχθῆναι συγχωρήσαιεν. DAT. XV. K. NOV. CONSTANTINOP. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BILIS. V. C. CONS.

## Ὥστε τὰ καλούμενα ἐμφανιστικὰ τῶν κληρικῶν ἐπὶ μὲν τῆς μεγάλης ἐκκλησίας δίδοσθαι, ἐπὶ δὲ τῶν ἄλλων ἐκκλησιῶν μὴ παρέχεσθαι. Διάταξις νϛ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ Αγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΠΑΡΑ πολλῶν προσελεύσεις δεχόμενοι, τόνδε τὸν νόμον πρὸς τὴν σὴν καταπέμψαι μακαριότητα δίκαιον ἡγησάμεθα. οἱ γὰρ χειροτονούμενοι παρὰ τῆς σῆς θεοφιλίας κληρικοὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις (χωρὶς μέντοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας) τὰ πάντων πάσχουσι δεινότατα, μὴ προσδεχομένων αὐτοὺς τῶν ἐκεῖσε κληρικῶν, πρὶν ὅσον ἂν βουληθεῖεν λάβοιεν χρυσίον. καὶ ἴσμεν ταῦτα ἐκ συχνῶν προσελεύσεων περὶ τούτου γενομένων ἡμῖν. θεσπίζομεν τοίνυν, τὴν μακαριότητα τὴν σὴν τοῦτο ἐρρωμενέστατα φυλάξαι, καὶ εἴ τι μὲν εἰωθός ἐστι διδόναι τοὺς καταταττομένους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, τοῦτο αὐτοὺς παρέχειν (οὐδὲ

Universidad Carlos III de Madrid. Biblioteca

γὰρ περὶ τῶν δεδομένων εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν καινίζομεν) χωρὶς γὰρ αὐτῆς ἐν ταῖς ἄλλαις πάσαις μηδενὶ τῶν ἐν αὐταῖς κληρικῶν παρρησίαν εἶναι παντελῶς ὑπὲρ τῶν καλουμένων ἐμφανισίμων τι κομίζεσθαι (ἀλλ' εἴ τις τοιοῦτό τι πράξειεν, ἐκεῖνον μὲν ἀφαιρεῖσθαι τῆς ἱερωσύνης, εἰς δὲ τὴν ἐκείνου τάξιν ἐπεμβαίνειν τὸν σαλέντα, καὶ τυχὸν αὐτὸν τῆς ἀπληστίας κομίζεσθαι τὸν μισθόν. παραφυλάττειν δὲ ταῦτα καὶ τοὺς θεοφιλεστάτους ἐκκλησιεκδίκους τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ποινὴν ὑφορωμένους decem librarum auri, εἴ τινος τούτων παραμελήσαιεν) ἀλλὰ προῖκα πάντα προϊέναι. τὰς γὰρ τοῦ δεσπότου θεοῦ λειτουργίας τε καὶ ὑπηρεσίας οὐ κατὰ πρᾶσιν οὐδὲ κατ' ἐμπορείαν γίνεσθαι τινὰ βουλόμεθα, ἀλλὰ καθαρῶς τε καὶ ἀδωροδοκήτως. οὕτω γὰρ ἂν τοῦ πράγματος ἄξιοι γίνοιντο, μηδεμιᾶς προφάσεως ἢ ἐμπορείας γινομένης. Η τοίνυν σὴ μακαριότης καὶ οἱ μετ' αὐτὴν ἐπὶ τῶν ἀρχιερατικῶν γινόμενοι θρόνων, τὰ παρ' ἡμῶν διατεταγμένα, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτωσαν. DAT. III. K. NOV. CONST. IMP. DN. IVSTIN. AVG. ANN. XI. POST BILIS. V. C. CONS. ANN. II.

## Περὶ κληρικῶν ἀποστάντων τῆς κατ' αὐτοὺς ἐκκλησίας. καὶ περὶ τῶν οἰκοδομούντων εὐκτηρίους οἴκους. Διάταξις νζ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ Αγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

ΠΟΛΛΟΙ πολλάκις κληρικοὶ τισὶν εὐκτηρίοις προσεδρεύοντες οἴκοις, ἢ καὶ ἴσως παρά τινων πρότερον ἐγκαταστάντες, χορηγοῦνται τὴν νενομισμένην χορηγίαν, εἶτα χωρίζουσιν ἑαυτοὺς τῶν ἱερῶν καθάπαξ μυστηρίων, δι' ἃς αὐτοὶ γινώσκουσιν αἰτίας ἢ καθ' οἱανοῦν πρόφασιν ἀναχωροῦσι παντελῶς τῆς ἁγιωτάτης ἐν ᾗ καθεστᾶσιν ἐκκλησίας. Θεσπίζομεν τοίνυν, μὴ τοῦτο γίνεσθαι κώλυμα τῇ ἱερᾷ λειτουργίᾳ, ἀλλ' ἑτέρους ἐγκαθίστασθαι παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων, ὑφ' οὓς αἱ αὐταὶ καθεστήκασιν ἐκκλησίαι, καὶ αὐτοὺς ταῦτα κομίζεσθαι. οὐδὲ γὰρ βουλόμεθα τισὶ διδόναι κερδαίνειν τὰ ἤδη παρ' αὐτῶν ἢ δι' αὐτῶν χορηγούμενα ταῖς ἁγιωτάταις ἐκκλησίαις (ἐπειδήπερ οὐδὲ θεμιτὸν καθ' οἱανδήποτε πρόφασιν κέρδος τινὰς ποιεῖν ἐκ τῆς ἑτέρων ἀποστερήσεως) ἀλλὰ τὰ ἐξ ἀρχῆς χορηγούμενα, μέχρι παντὸς ἐπιδίδοσθαι, καὶ μὴ τὴν ἱερὰν ἐντεῦθεν λειτουργίαν διαφθείρεσθαι. οὐκ οὔσης ἀδείας, μετὰ τὸ ἐγκαταστῆναι τινὰς ἀντὶ τῶν προτέρων κληρικῶν, ἢ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου ἢ παρὰ τῶν ἐπιχωρίων ἐπισκόπων, αὖθις τοὺς ἀναχωρήσαντας, πάλιν ἐπανιέναι βούλεσθαι, καὶ ἐξωθεῖν τοὺς ἐγκαταστάντας, καὶ ἀναγκάζεσθαι διπλᾶ χορηγεῖν τοὺς ποιουμένους τὴν τοιαύτην χορηγίαν, ὥστε διδόναι καὶ τοῖς ἐγκαταστᾶσι καὶ τοῖς πάλιν ἐπανιέναι βουλομένοις· ἀλλ' ἐκείνους μὲν ἐπανιόντας μὴ προσδέχεσθαι, τοῖς δὲ μετὰ τὴν ἀναχώρησιν τῶν προτέρων ἐγκαταστᾶσιν, αὐτοῖς δίδοσθαι τὰς σιτήσεις, οὐδενὸς κέρδους ἐντεῦθεν τοῖς χορηγοῦσι προσγινομένου· τῶν τὰ τοιαῦτα κερδαίνειν ἐγχειρούντων, ἐκ τῆς ἑαυτῶν περιουσίας πάντως παρεχόντων τοῖς παρ' ἑαυτῶν ἐγκαταστᾶσι τὰς σιτήσεις καὶ πάσας τὰς χορηγίας, κληρονόμων τε αὐτῶν καὶ δια-

Universidad Carlos III de Madrid. Biblioteca

ὀρθοδόξων. εἰδότων ὡς εἰ καὶ μετὰ ταῦτα ἀποστερήσαιεν, ῥητὴ κτῆσις ἀφαιρεθήσεται ἐκ τῆς αὐτῶν περιουσίας τοῖς θείοις ἡμῶν πριβάτοις· ὥστε ἐντεῦθεν τὴν χορηγίαν αὐτοῖς γίνεσθαι. Κἀκεῖνο μέντοι πρὸς τιμὴν καὶ σέβας τοῦ θρόνου τοῦ σοῦ διορίζομεν, ὥστε εἴ τις οἰκοδομήσας ἐκκλησίαν, ἢ καὶ ἄλλως χορηγῶν τοῖς ἐν αὐτῇ λειτουργοῦσι σιτήσεις, βούλοιτο τινὰς κληρικοὺς ἐγκαθιστᾶν αὐτῇ, μὴ εἶναι αὐτῷ παρρησίαν μηδεμίαν οὓς βούλεται κατ' ἐξουσίαν προσάγειν τῇ σῇ θεοφιλίᾳ, ἐφ' ᾧτε χειροτονεῖν αὐτοὺς ἀκρίτως καὶ ἀνεξετάστως· ἀλλὰ προσαγομένους αὐτοὺς ἐξετάζεσθαι παρὰ τῆς σῆς ἁγιωσύνης, γνώμῃ τε τῇ σῇ καὶ τοῦ τὸν ἱερατικὸν θρόνον ἐπιτροπεύοντος, ἀεὶ τούτους δέχεσθαι τὴν χειροτονίαν οἵπερ ἂν τῇ τε σῇ μακαριότητι καὶ τοῖς μετ' αὐτὴν ἐπιτήδειοι δόξαιεν καθεστάναι καὶ τῆς τοῦ θεοῦ λειτουργίας ἄξιοι. ὥστε μὴ βεβηλοῦσθαι τὰ ἅγια τοῦ θεοῦ (τοῦτο δὴ τὸ τοῖς θείοις διηγορευμένον λογίοις) ἀλλ' ἄθικτά τε αὐτὰ καὶ ἄρρητα καὶ φρικτὰ καθεστῶτα, ὁσίως καὶ θεοφιλῶς καὶ ἁγίως διαχειρίζεσθαι. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, τὴν μακαριότητα τὴν σὴν φυλάττειν διηνεκῶς θεσπίζομεν, γινώσκοντες ὡς οὐκ ἔλαττον ὑμῖν μέλει τῶν ταῖς ἁγιωτάταις ἐκκλησίαις λυσιτελούντων, ἢ περὶ αὐτῆς τῆς ψυχῆς. DAT. XV. K. NOV. CONSTANTINOP. IMP. DN. IVST. AVG. POST BILIS. V. C. CONS. ANN. III.

## Περὶ τοῦ ἐν ἰδιωτικοῖς οἴκοις ἱερὰν μυσταγωγίαν μὴ γίνεσθαι. Διάταξις νη.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΚΑΙ τοῖς πάλαι διηγόρευται νόμοις ὥστε μηδενὶ παντελῶς εἶναι παρρησίαν οἴκοι τὰ ἱερώτατα πράττειν, ἀλλὰ δημοσίᾳ καταλιμπάνειν προσιέναι καὶ τὴν ἁγιστείαν καὶ τὴν τοῦ θεοῦ λατρείαν (κατὰ τοὺς θεσμοὺς τοὺς περὶ τούτων ταῖς ἱερατικαῖς πράξεσι παραδεδομένους) καὶ ἡμεῖς δὲ τοῦτον ἐπὶ τοῦ παρόντος τίθεμεν τὸν νόμον, ὃν σὺν ἀσφαλείᾳ πάσῃ κρατεῖν βουλόμεθα. πᾶσι γὰρ ἀπαγορεύομεν τοῖς τῆς μεγάλης ταύτης πόλεως οἰκήτορσι, μᾶλλον δὲ καὶ τοῖς ἁπάσης τῆς ὑπηκόου, ἐν τοῖς οἴκοις τοῖς αὐτῶν ἔχειν τινὰς δῆθεν εὐκτηρίους οἴκους, καὶ ἐν τούτοις τὴν ἱερὰν ἐπιτελεῖν μυσταγωγίαν, καὶ ἐντεῦθεν γίνεσθαι τινὰ τῆς καθολικῆς τε καὶ ἀποστολικῆς παραδόσεως ἀλλότρια. ἀλλ' εἰ μὲν οἴκους οὕτως ἁπλῶς τινὲς ἔχειν οἴονται δεῖν ἐν τοῖς ἑαυτῶν ἱερούς, εὐχῆς δὴ καὶ μόνης χάριν, καὶ οὐδενὸς πραττομένου παντελῶς τῶν ὅσα τῆς ἱερᾶς καθέστηκε λειτουργίας, τοῦτο αὐτοῖς ἐφίεμεν. φθόνος γὰρ οὐδεὶς εἰ βούλονται τούτων χωρὶς ἔχειν οἰκήματά τινα, καὶ ἐν αὐτοῖς ὡς ἐν ἱεροῖς εὔχεσθαι, τῶν δὲ ἄλλων πάντων ἀπέχεσθαι. πλὴν εἰ μήπερ ἐν αὐτοῖς βουληθεῖεν τινὰς προστρέπειν κληρικούς, ἐνταῦθα μὲν, τῆς ἁγιωτάτης ἐκκλησίας καὶ τῶν ὑπ' αὐτὴν ἁγιωτάτων οἴκων γνώμῃ, καὶ ἐξουσίᾳ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου πρὸς τοῦτο ἀπονεμομένους, κατὰ χώραν δὲ, γνώμῃ τῶν θεοφιλεστάτων ἐπισκόπων· μηδενὸς καινισμοῦ περὶ τῷ θρόνῳ τῆς αὐτοῦ μακαριότητος ἐκ τοῦ παρόντος ἡμῶν γινομένου νόμου περὶ τὰ ὄντα αὐτῷ καθ' οἱονδήποτε τρόπον ἐπὶ ταῖς χειροτονίαις ἢ διοικήσεσιν ἐνταῦθα ἢ ἐν

ταῖς ἐπαρχίαις δίκαια, ἀλλὰ πρότων τῶν παρεσχημένων αὐτῇ καθ' οἱονδήποτε τρόπον καὶ χρόνον, κυρίων νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον φυλαττομένων. Θεσπίζομεν δὲ τὴν σὴν ταῦτα παραφυλάττειν ἐνδοξότητα, καὶ φανερὰ πᾶσι διὰ προγραμμάτων οἰκείων καταστῆσαι, ὥστε κατὰ πάντων κρατῆσαι τὸν νόμον. τοῦτο γὰρ καὶ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τε καὶ οἰκουμενικῷ πατριάρχῃ ἐνεκελευσάμεθα, ὥστε ἔκ τε τῆς πολιτικῆς ἔκ τε τῆς ἱερατικῆς ἰσχύος ταῦτα διηνεκῶς φυλάττεσθαι. ἴστωσαν δὲ καὶ αὐτοὶ οἱ τῶν οἰκιῶν κύριοι ὡς εἴπερ μὴ ταῦτα φυλάξουσιν, αὐτοὶ μὲν ὑπὸ βασιλικὴν γενήσονται κίνησιν, αἱ δὲ οἰκίαι ἐν αἷς τοιοῦτό τι πράττεται, δημόσιαι γενήσονται, καὶ ὑπὸ τὸ ἱερώτατον ἡμῶν ταμεῖον ἀχθήσονται. εἰ δὲ καί τινες ἔφθησαν τοιοῦτό τι ἐν ταῖς ἑαυτῶν ἔχειν οἰκίαις, ἴστωσαν ὡς εἰ μὴ περιέλοιεν εἴσω μηνῶν ἐξ ἀφ' οὗπερ ὅδε ὁ νόμος ἐμφανὴς γένοιτο, ταῦτα ἐπανορθώσαιεν, καὶ εἰς τὸ παρ' ἡμῶν διατεταγμένον ἀγάγοιεν σχῆμα, ὑπὸ τὴν εἰρημένην ποινὴν γενήσονται. ταῦτα δὲ πράττεσθαι σὺν ἀληθείᾳ, οὐ μὴν κατά τινα συκοφαντίαν, βουλόμεθα. τῶν γὰρ ἀληθῶν μόνων ἐσμὲν ἐρασταί. Ταῦτα θεσπίζομεν τὴν σὴν φυλάττειν ὑπεροχήν, καὶ μηδὲν τοιοῦτο γίνεσθαι συγχωρεῖν. ἴσθι γὰρ ὡς εἰ μάθοιμεν ὅτι σοὶ τοιοῦτό τι προσαγγελθὲν εἶτα οὐκ ἐκώλυσας, ἢ αὐτὸς, ἢ οἱ διάδοχοί σου τῆς ἀρχῆς ἐσόμενοι· αὐτὸς μὲν quinquaginta librarum auri καταθήσεις ποινήν, οἵ τε ἀμοιβοί σου τῆς ἀρχῆς ἐσόμενοι, ἥ τε πειθομένη σοὶ τάξις τὴν αὐτὴν ὑποστήσεται ζημίαν· ὅτι πρᾶγμα ἡμῖν ἐσπουδασμένον, καὶ τὴν τῆς ἁγιωτάτης ἐκκλησίας φυλάττον ἕνωσιν, καὶ κωλύον τὰ φανερῶς ἀπηγορευμένα πράττεσθαι λεληθότως, ἠνέσχετο περιιδεῖν ἁμαρτανόμενον· περὶ αὐτήν τε τὴν ἀρχὴν κινδυνεύσει· πρὸς τῷ καὶ τὴν οἰκίαν αὐτὴν ἐν ᾗ τοιοῦτό τι πράττεται, γίνεσθαι δημοσίαν, καὶ ὑπὸ τὸ ἱερώτατον ἔρχεσθαι ταμεῖον. Γέγραπται δὲ παρ' ἡμῶν καὶ πρὸς τὸν ἁγιώτατον πατριάρχην τῆς εὐδαίμονος ταύτης πόλεως, ὥστε καὶ αὐτὸν τούτου ποιεῖσθαι πρόνοιαν. βουλόμεθα γὰρ ἱερατικῶς τε καὶ ἀρχικῶς ταῦτα φυλαττόμενα, μένειν εἰς τὸν ἐφεξῆς χρόνον ἀκίνητα. DAT. III. N. NOV. CONSTAN. IMP. DN. IUSTIN. PP. AUG. ANN. XI. POST. BILISAR. V.C. CONS.

## Περὶ τῆς ὀφειλούσης γίνεσθαι δαπάνης εἰς τὰς τῶν τελευτώντων κηδείας. Διάταξις νθ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΕΠΑΡΧῼ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΕΚΑΣΤΟΝ τῶν ἀγαθῶν ἔργων ἢ παρ' ἡμῶν, βουλήσει θεοῦ, χρὴ λαβεῖν τὴν ἀρχὴν, ἢ, κἂν εἴ τις τοῖς ἀφ' ἑτέρων γινομένοις ἀγαθοῖς ἀκολουθήσειε παραφθορά, ταύτην ἐπανορθωθῆναι παρ' ἡμῶν, καὶ εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι τάξιν· ὥστε ἡμᾶς ἢ τῇ ποιήσει τοῦ πράγματος, ἢ τῇ ἐπανορθώσει, πρὸς τὰς ἀγαθὰς πράξεις σπουδὴν ἔχειν ἀεὶ μετουσίαν. ὁποῖον δή τι καὶ ἐπὶ ταῖς ἐκφοραῖς τῶν τελευτώντων γινόμενον οὐκ ὀρθῶς, συνείδομεν ἐπανορθῶσαι, καὶ χαρίσασθαι τοῖς ἀνθρώποις τὸ μὴ διπλῆν ὑφίστασθαι δυσκολίαν, ἅμα μὲν τοὺς ἑαυτῶν ἀποβάλλοντας, ἅμα δὲ ὑπὲρ αὐτῶν ζημιουμένους. ἀλλ' ὥσπερ Κωνσταντῖνος ὁ τῆς θείας λήξεως ὀρθῶς ἐν-

Universidad Carlos III de Madrid. Biblioteca

νοήσας διετύπωσε, καὶ ὕστερον Ἀναστάσιος ὁ τῆς εὐσεβοῦς λήξεως ἐβεβαίωσε, προστεθεὶς καὶ πρόσοδον τῷ πράγματι, τοῦτο ἡμεῖς αὖθις κινδυνεῦον διαπεσεῖν, ἀνακινήσασθαί τε καὶ δοῦναι μετὰ πάσης ἀσφαλείας τε καὶ ὅρκων προσηκόντων ἐπειγόμεθα, μόνιμον αὐτὸ ποιοῦντες ἀθάνατον. Κωνσταντίνου γὰρ τοῦ τῆς εὐσεβοῦς λήξεως ἐννακόσια πεντήκοντα ἐργαστήρια ἐκ διαφόρων συστημάτων τῆς εὐδαίμονος ταύτης πόλεως ἀτελῆ δεδωκότος τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, Ἀναστασίου δὲ τοῦ τῆς εὐσεβοῦς λήξεως οὐ μόνον τοῖς ἐργαστηρίοις ἐκείνοις πεντήκοντα καὶ ἑκατὸν προστεθέντος, ἀλλὰ καὶ πρόσοδον ῥητὴν φιλοτιμησαμένου κατὰ δύο πραγματικοὺς τύπους, ἐφ' ᾧ τὸ ἐκ τῆς αὐτῆς προσόδου ἀθροιζόμενον χρυσίον προχωρεῖ εἰς τὰ διδόμενα παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων τοῖς πρὸς τοῦτο πονουμένοις· πολλοὶ πολλαχόθεν προσῆλθον ἡμῖν, λέγοντες οὐχ ὁμοίως τὸ πρᾶγμα προϊέναι, οὐδὲ ἀμίσθους γίνεσθαι τὰς τῶν τελευτώντων κηδείας, ἀλλ' ἀπαιτεῖσθαι πικρῶς, καὶ εὑρίσκεσθαι πολλὰ ἔξωθεν ὀνόματα καὶ συστήματα, ἅπερ καὶ ἄκοντας ἀπαιτεῖ τοὺς πενθοῦντας, καὶ ἀναγκάζει διδόναι τοὺς οὐκ ἔχοντας. Ταῦτα ἅπαντα δίκαιον ᾠήθημεν τῆς προσηκούσης ἐπανορθώσεως ἀξιῶσαι. πρῶτον μὲν οὖν τὰ κατὰ τὰ ἐργαστήρια πολλὴν δεξάμενα ἐπιβουλὴν καὶ ἐλάττωσιν, εἰς πλῆρες ἀποκατεστήσαμεν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, θεῖον ὑπὲρ τούτου γράψαντες τύπον πρὸς τὴν πολιαρχίαν, ἐφ' ᾧτε αὐτὴν ἅμα τῇ πειθομένῃ αὐτῇ τάξει παραδοῦναι τὰ χίλια ἑκατὸν ἐργαστήρια πᾶσι τρόποις τοῖς θεοφιλεστάτοις ἐκδίκοις καὶ οἰκονόμοις τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας· ὀκτακοσίων μὲν ἐν σώμασιν ἐργαστηρίων παρεχομένων τοῖς θεοφιλεστάτοις ἐκδίκοις, τριακοσίων δὲ τοῖς θεοσεβεστάτοις οἰκονόμοις· ὥστε τοὺς θεοσεβεστάτους οἰκονόμους ἔχειν τὰ τριακόσια ἐργαστήρια, καὶ τὴν πρόσοδον τὴν ὑπὸ Ἀναστασίου τοῦ τῆς θείας λήξεως δωρηθεῖσαν· οὐκ ἔτι μεμφομένους ὡς ἐλλιπὴς εἴη, ἀλλὰ τὴν ἀναπλήρωσιν ἐκ τῆς τῶν τριακοσίων ἐργαστηρίων δόσεως ἔχοντας, ποιεῖσθαι τὴν τῶν μηνιαίων χορηγίαν τοῖς τε δεκανοῖς καὶ τοῖς ἄλλοις τάγμασι. τοὺς δὲ θεοφιλεστάτους ἐκδίκους ἔχοντας τὰ ὀκτακόσια ἐργαστήρια, τούς τε καλουμένους λεκτικαρίους παρέχειν, καὶ τὴν ἄλλην ὑπουργίαν ποιεῖν ἣν ἡ τῶν τελευτώντων ὁσία βούλεται· ὥστε κατὰ τοῦτο τὰς ζημίας ἀφελεῖν τῶν πενθούντων. Δεῖ τοίνυν τὰ εἰρημένα χίλια ἑκατὸν ἐργαστήρια φυλάττεσθαι τοῖς τε θεοφιλεστάτοις οἰκονόμοις καὶ ἐκδίκοις διὰ παντὸς ἀτελῆ τε καὶ ἀμείωτα, καὶ ἀναπληρούμενα παρὰ τοῦ ἐνδοξοτάτου ἐπάρχου τῆς εὐδαίμονος ταύτης πόλεως, εἴ τις γένοιτο ἐλάττωσις καθ' οἱονδήποτε τρόπον, ἢ ἐναλλαγὴ τῶν τούτων ὄψεως ἢ ἐμπορείας. ὥστε τοὺς μὲν θεοφιλεστάτους οἰκονόμους, ἔχοντας τὴν τῶν χρειῶν διοίκησιν τῶν ταῖς ταφαῖς ἀπονεμομένων, ἔχοντας δὲ καὶ ἀτελῆ τὰ τριακόσια ἐργαστήρια, τοὺς δὲ ἐκδίκους τὰ ὀκτακόσια, τὴν περὶ τὴν ὁσίαν τῶν τελευτώντων ποιεῖσθαι διοίκησιν. τὸ μὲν οὖν ἐκ τῆς τῶν χρειῶν προσόδου πορεῖον παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων ἐπιδίδοσθαι ταῖς ταφαῖς, καθάπερ ὑποκατιόντες ἐροῦμεν, προστιθεμένης καὶ τῆς ἐκ τῶν τριακοσίων ἐργαστηρίων προσθήκης, ἣν καὶ αὐτὴν ἐν αὐτῷ τῷ ἔργῳ λαμβάνειν ᾐτήσαμεν. ἐπειδὴ δὲ τῶν χιλίων ἑκατὸν ἐργαστηρίων, τῶν ἐπὶ ταύτης ὄντων τῆς εὐδαίμονος πόλεως, πλεῖστα διέπεσε, προστάττομεν κατὰ τὸ παρὸν ἀναπληρωθῆναι ταῦτα· καὶ τὸν τῶν χιλίων ἑκατὸν ἐργαστηρίων ἀριθμὸν διατηρουμένου, ἀμείωτά τε καὶ ἀτελῆ, κατὰ τὸν εἰρημένον ἡμῖν τρόπον, φυλάττεσθαι τοῖς τε θεοφιλεστάτοις οἰκονόμοις, τοῖς τε θεοσεβεστάτοις ἐκδίκοις. ὥστε μέντοι μὴ ἐλάττους εἶναι τοὺς δεκανοὺς, ἢ τοὺς κοπιατὰς, τῶν ὀκτακοσίων τῶν ἀπο-

Universidad Carlos III de Madrid. Biblioteca

νεμηθέντων τοῖς θεοφιλεστάτοις ἐκδίκοις· ἀντὶ δὲ τῶν τριακοσίων τῶν δεδομένων τοῖς θεοφιλεστάτοις οἰκονόμοις, ἄδειαν εἶναι τοῖς αὐτοῖς θεοφιλεστάτοις ἀνδράσιν, εἰ βουληθεῖεν, ἐν σώμασι λαμβάνειν τὰ τριακόσια ἐργαστήρια, ἢ πάντα ἢ τινὰ ἐξ αὐτῶν, ἢ κομίζεσθαι, προφάσει τῶν καλουμένων ἐξκουσσάτων, χρήματα ὑπὲρ πάντων ἢ ὑπέρ τινων ἐργαστηρίων· καὶ αὐτὰ τὰ χρήματα ἅπερ μέχρι νῦν οὐκ εἶχον (καθάπερ καὶ αὐτοὶ τὸ ἡμέτερον ἐδίδαξαν κράτος) ταῦτα δαπανᾶν περὶ τὴν τῶν τελευτώντων ὁσίαν. ὥστε ἔκ τε τούτων τῶν χρημάτων καὶ ἐκ τῶν προσόδων τῶν χωρίων τὴν διανομὴν γίνεσθαι τοῖς τε δεκανοῖς καὶ ἀσκητρίαις καὶ κανονικαῖς καὶ ἀκολούθοις, καθάπερ ἀνωτέρω ὑποκατιόντες διαταξόμεθα. τῶν γὰρ αὐτῶν θεοφιλεστάτων οἰκονόμων διδαξάντων ὡς οὐχ οἷόν τε ἐστὶν ἐκ τῶν χωρίων τοῦ λοιποῦ τὴν αὐτὴν πρόσοδον περισώζεσθαι, εἰκότως ἡμεῖς τὴν τῶν τριακοσίων ἐργαστηρίων προσθήκην ἀπενείμαμεν τούτῳ τῷ μέρει, ὅπως ἀνεπιλήπτως τὸ μέχρι νῦν διδόμενον τοῖς κάμνουσι περὶ τὴν τῶν λειψάνων ἐκφορὰν, καὶ ἐφεξῆς δοθείη, τουτέστι per singulum mensem quadringetos solidos, μεριζομένους τοῖς τε δεκανοῖς καὶ ἀκολούθοις καὶ ἀσκητρίαις καὶ κανονικαῖς, κατὰ τὸ μέχρι νῦν παρ' αὐτοῖς κρατῆσαν ἔθος· τουτέστι τοῖς μὲν δεκανοῖς per singulum mensem centum octoginta duos solidos, ταῖς δὲ ἀσκητρίαις ἐνενήκοντα ἓν, καὶ τοῖς ἀκολούθοις nonaginta vnum solidos, καὶ ταῖς κανονικαῖς triginta sex solidos, ἀθροιζομένων μὲν παρὰ τῶν αὐτῶν θεοφιλεστάτων οἰκονόμων, καταβαλλομένων δὲ ἐπὶ τοὺς εἰωθότας κομίζεσθαι κατὰ sex menses. δεῖ δὲ τὸ μὲν ἐπιβάλλον τοῦ χρυσίου μέρος ταῖς εὐλαβεστάταις ἀσκητρίαις δίδοσθαι παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων, κατὰ τὴν εἰρημένην προθεσμίαν, Εὐγενίῳ τῷ θεοφιλεστάτῳ διακόνῳ καὶ ξενοδόχῳ τοῦ κατὰ Σαμψὼν τὸν τῆς ὁσίας μνήμης ξενῶνος, καὶ τοῦ παρ' ἡμῶν συστάντος, καὶ τοῖς μετ' αὐτὸν θεοφιλεστάτοις ξενοδόχοις τῶν εἰρημένων ξενώνων· διὰ τὸ τὰς ἀσκητρίας τὰς εἰς ταύτην ὑπουργούσας τὴν χρείαν, ὑπὸ τοὺς κατὰ καιρὸν ξενοδόχους τῶν εἰρημένων εὐαγῶν ξενώνων τελεῖν. τὸ δὲ ἀριθμοῦ τοῖς τε ἀκολούθοις καὶ ταῖς εὐλαβεστάταις κανονικαῖς, ὡσαύτως δίδοσθαι παρὰ τῶν αὐτῶν θεοφιλεστάτων οἰκονόμων, τοῖς τε νῦν ἐφεστῶσιν αὐτοῖς καὶ τοῖς κατὰ καιρὸν τὴν ἡγεμονίαν αὐτῶν ἐγχειριζομένοις· ὥστε δι' αὐτῶν τὴν διανομὴν γίνεσθαι ταῖς προδηλουμέναις καὶ ὑπ' αὐτοὺς τελούσαις ἀσκητρίαις τε καὶ κανονικαῖς, καὶ πρός γε καὶ τοῖς ἀκολούθοις. Εἰ δὲ κατόπιν γένοιντο περὶ τὴν τοιαύτην καταβολὴν οἱ θεοφιλέστατοι οἰκονόμοι, καὶ τοῦτο φανερὸν καταστaίη, εἴσω ἓξ μηνῶν κατὰ τὴν δευτέραν ἑξάμηνον διερχομένων, εἰ μηδεμία γένοιτο καταβολὴ, τηνικαῦτα πᾶν τὸ μετὰ τὴν προτέραν ἑξάμηνον ὀφληθὲν εἰσπράττεσθαι τοὺς ἀεὶ θεοφιλεστάτους οἰκονόμους, μετὰ τόκου τοῦ ἀπὸ τρίτου μέρους τῆς νομίμης ἑκατοστῆς, τοῦ μετὰ τὴν ἑξάμηνον διατρέχοντος χρόνου. πρόνοιαν τούτου τιθεμένου τοῦ κατὰ καιρὸν ὁσιωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν ἁγιωτάτης μεγάλης ἐκκλησίας. Εἰ δὲ καὶ ἕτερος ἐνιαυτὸς παρέλθοι, καὶ μηδὲ οὕτως τι καταβάλλοιεν οἱ θεοφιλέστατοι οἰκονόμοι ταῖς εὐλαβεστάταις γυναιξὶν ἢ τοῖς εἰρημένοις δεκανοῖς, ἄδειαν εἶναι τῷ κατὰ καιρὸν ἁγιωτάτῳ πατριάρχῃ, μὴ μόνον ἀπαιτεῖν τοὺς θεοφιλεστάτους οἰκονόμους τὸ ὀφειλόμενον μετὰ τοῦ εἰρημένου τόκου, ἀλλὰ καὶ ἀναγκάζειν αὐτοὺς διδόναι πάντα ὅσα διώρισται· καὶ (εἴπερ βουληθείη ὁ ἁγιώτατος πατριάρχης) καὶ ἐξωθεῖν αὐτοὺς τῆς φροντίδος τῶν χωρίων, καὶ ἀπαιτεῖν τῶν τούτων ὄψιν, καθάπερ νῦν παρ' αὐτοῖς ἐστι· τούτων ἁπάντων φροντίδα τιθεμένου

Universidad Carlos III de Madrid. Biblioteca

τοῦ κατὰ καιρὸν μακαριωτάτου ἀρχιεπισκόπου, καὶ οἰκουμενικοῦ πατριάρχου, ὑφ' ὃν τελοῦσι καὶ οἱ θεοφιλέστατοι οἰκονόμοι, καὶ ὁ πᾶς κλῆρος, καὶ ἡ σύμπασα τῆς ἁγιωτάτης ἐκκλησίας κατάστασις. Τούτων δὲ οὕτως γινομένων, μηδένα παντελῶς παρὰ ἄκοντος κομίζεσθαι ὑπὲρ νεκροῦ σώματος κηδευομένου μηδ' ὁτιοῦν. ὥστε δὲ διακρίνεσθαι τὸ πᾶν, θεσπίζομεν ἑκάστῃ κλίνῃ προῖκα διδομένῃ ἓν ἀσκητήριον δίδοσθαι ἀσκητριῶν ἢ κανονικῶν, μὴ ἔλαττον ὀκτὼ γυναικῶν ἡγουμένων τῆς κλίνης καὶ ψαλλουσῶν, καὶ τριῶν ἀκολούθων, οἵπερ οὐδ' ὁτιοῦν παντελῶς λήψονται. Εἰ μέντοι τις βούλοιτο τῶν προσηκόντων τῷ τελευτήσαντι καὶ τὴν ἐκφορὰν ποιουμένων, αὐτὸς ἑκών, μηδενὸς ἀναγκάζοντος οὐδενός, καὶ ἕτερον ἀσκητήριον ἓν ἢ δύο ἢ καὶ πλείω προσλαβεῖν, τοῦτο ἔστω μὲν τῆς αὐτοῦ φιλοτιμίας· πλὴν οὐδὲ τοῦτο ἀόριστον καταλειπόμενον, κἀνταῦθα τὸ αὐτὸ μέτρον εἶναι βουλόμενοι τῶν κατὰ φιλοτιμίαν προσλαμβανομένων ἀσκητριῶν, ἤτοι κανονικῶν καὶ ἀκολούθων, ὅπερ ἀνωτέρω διωρισάμεθα· ὥστε μὴ ἐλάττους ἢ ὀκτὼ ἀσκητρίας ἢ κανονικὰς εἶναι τὰς ἐξ ἑκάστου ἀσκητηρίου προσλαμβανομένας, καὶ τρεῖς ἀκολούθους καθ' ἕκαστον ἀσκητήριον. Δίδοσθαι δὲ ταῖς ἀσκητρίαις, ἤτοι κανονικαῖς, ταῖς ὑπὲρ τοῦ αὐτοῦ προῖκα ὑπηρετεῖν προσλαμβανομέναις, εἰ μὲν εἴσω τῶν νέων τειχῶν τῆς εὐδαίμονος ταύτης πόλεως εἴη ἡ τῆς ἐκφορᾶς, ἄχρι trium solidorū· οὐδὲν ἐκ τούτων παντελῶς τῶν ἀκολούθων κομιζομένων, οὐδὲ μεριζομένων ταῦτα μετὰ τῶν εὐλαβεστάτων ἀσκητριῶν ἢ κανονικῶν. τῶν δὲ ἀκολούθων τῶν μετὰ τοὺς τρεῖς τοὺς προῖκα ὑπηρετοῦντας προσλαμβανομένων, εἰ μὲν ἕτεροι τρεῖς εἶεν, ἀρκουμένων κερατίοις τρισίν· εἰ δὲ ἕξ, κερατίοις ἕξ. καὶ ἐφεξῆς κατὰ τοῦτον τὸν τρόπον καὶ τὰ περὶ αὐτῶν διοικεῖσθαι. πρόδηλον δὲ ὡς εἰ καὶ τὸ διάστημα πλέον καθεστήκοι, καὶ οἱ τῇ κλίνῃ ὑπηρετούμενοι δεκανοὶ πλείους εἶεν, καὶ τὰ ἀσκητήρια πλείονα, διὰ τὸ ταύτης βάρος, βραχύ τι καὶ αὐτοῖς δοθήσεται, καθ' ὁμοιότητα τῶν πρὸς τὰ ἀσκητήρια τῆς κηδείας πονουμένων· ὥστε τῇ διαφορᾷ τοῦ κόπου δοκεῖν τινὰ καὶ αὐτοὺς ἔχειν ἐντεῦθεν παραψυχήν. δοκεῖν δὲ εἴσω τῶν νέων τειχῶν καὶ τὸ πέραμα Ἰουστινιανῶν, ἤτοι Συκῶν, ἐπειδὴ μὴ πόρρω καθέστηκε, μηδὲ δεῖται πλείονος χρόνου ἢ πόνου πρὸς τὴν ἄφιξιν τὴν ἐκεῖσε. Εἰ δὲ ἔξω τῶν νέων τειχῶν τῆς εὐδαίμονος ταύτης πόλεως ἐκφορὰ γένοιτο, ἢ καὶ ἐν τοῖς ἄλλοις περάμασι, παρὰ τὸ εἰρημένον, τηνικαῦτα τὰς μὲν ἀσκητρίας, ἤτοι κανονικάς, dimidiam partem solidi λαμβάνειν· οὐδὲ ἐνταῦθα κοινωνούντων παντελῶς κατ' οὐδὲν αὐταῖς τῶν ἀκολούθων. αὐτῶν δὲ τῶν ἀκολούθων ἐφ' ἑκάστῳ ἀσκητηρίῳ quatuor silicas κομιζομένων, καὶ πέρα τούτων μηδέν, κατὰ τὴν εἰρημένην διαίρεσιν· τοῦ ἀσκητηρίου τοῦ παρεπομένου τῇ προῖκα διδομένῃ κλίνῃ σὺν τοῖς τρισὶν ἀκολούθοις, καὶ αὐτοῦ πάντως παραγινομένου διὰ τῶν ὀκτὼ ἀσκητριῶν ἢ κανονικῶν, καὶ τριῶν, ὡς εἴρηται, ἀκολούθων, καὶ οὐδὲν παντελῶς κομιζομένων, οὐδὲ διὰ κηρῶν δόσεως ἀπαιτουμένων, καὶ ἕτερον μέτρον ἐξευρισκόντων ἐφ' ἑτέρῳ προκαλύμματι. Ταῦτα μέντοι πάντα διορίζομεν ἐπὶ τῶν μὴ κατὰ φιλοτιμίαν ἐπιζητούντων τὰς δύο μεγάλας ταύτας κλίνας τὰς ἐν τῷ εὐαγεῖ κειμηλιοφυλακείῳ κειμένας· φαμὲν δὴ Στουδίου τοῦ τῆς ἐνδόξου μνήμης, καὶ Στεφάνου τοῦ τῆς μεγαλοπρεποῦς μνήμης. εἰ γάρ τις ἐκείνας βουληθείη λαβεῖν, ὡς καὶ ἀνθρώπων πολλῶν δεομένας καὶ φυλακῆς πλείονος, καὶ ἄλλης τινὸς πολυπραγμοσύνης χρηζούσας, τοῦτο οὐ συναπτόμενον τοῖς ἔμπροσθεν εἰρημένοις, ἀλλ' ὡς φιλότιμον ἀνελόμενος γνώμην, ὁπόσον ἂν ὑπὲρ τοῦ πόνου ἢ τοῖς δεκανοῖς ἢ ταῖς εὐλαβεστάταις ἀσκητρίαις ἢ κανονικαῖς διδόναι συμφωνήσειε, τοῦτο τοι

Universidad Carlos III de Madrid. Biblioteca

καὶ παρέχειν· οὐ μέντοι δυνάμενον ὑπερβαίνειν τὴν τῶν duodecim solidorum ποσότητα, ἐπὶ τῶν δύο κλινῶν τοῦ Σπουδίου τε καὶ τοῦ Στεφάνου· ἐπὶ δὲ τοῦ χρυσοπάστου τοῦ κειμένου κατὰ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, εἴγε ἑνὸς μόνου τοῦ δι' αὐτοῦ, ὡς εἰκός, κατασκευασθησομένου, quatuor solidorum. τῶν δὲ ἀσκητηρίων, ἢ κανονικῶν, καὶ ἀκολούθων, διπλασίονα κομιζομένων ἤπερ ἔμπροσθεν περὶ αὐτῶν ὡρισάμεθα· δηλαδὴ καὶ αὐτοῦ τοῦ ἀσκητηρίου, ἤτοι κανονικῶν, τοῦ προῖκα ἐπὶ τῶν ἄλλων κλινῶν ἠριθμημένου, τὴν αὐτὴν λαμβάνοντος ποσότητα ἣν καὶ τὰ λοιπὰ ἀσκητήρια. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀκολούθων φυλαττομένου, ὅπερ φθάσαντες εἴπομεν· ὥστε καὶ τούτοις διπλάσιον τῶν ἤδη παρ' ἡμῶν διατεταγμένων κομίζεσθαι. ὅταν μέντοι μία τούτων τῶν τριῶν εἴη κλινῶν, ἐφ' ἧς ἡ κηδεία γίνεται, τοῦ τε βουλομένου τοῦ ταύτην ἐπιτελοῦντος, δηλαδὴ τῶν θεοφιλεστάτων ἐκδίκων ἀνάγκην ἐχόντων τὰ σώματα τῶν δεκανῶν παρέχειν, ἐξ ὧν αὖθις ἀπενείμαμεν ὀκτακοσίων ἐργαστηρίων, καὶ τὰς κλίνας· οὐ μέντοι δαπάνην ποιεῖσθαί τινα. τῶν θεοφιλεστάτων οἰκονόμων ἀναγκαζομένων ἔκ τε τῆς προσόδου τῆς παρὰ Ἀναστασίου τοῦ τῆς θείας λήξεως καταλελειμμένης, ἔκ τε τῶν τριακοσίων ἐργαστηρίων τῶν εἰρημένων πᾶσαν δαπάνην ποιεῖσθαι περὶ τὰ εἰρημένα πρόσωπα, κατὰ τὴν ἐφ' ἅπασι τεταγμένην παρ' ἡμῶν διαίρεσιν. οὕτως οὐδὲν ἀόριστον ἔσται, ἀλλὰ καὶ οἱ μετριωτέρας τὰς ταφὰς γίνεσθαι βουλόμενοι, ταύτης ἀπολαύσονται τῆς διατυπώσεως· καὶ οἱ πρὸς φιλοτιμίαν ὁρῶντες, οὐ μεγάλα ζημιωθήσονται, ἀλλ' ἔσονται μετὰ τοῦ μετρίου φιλότιμοι.

Ταῦτα τοίνυν ἡμεῖς διωρισάμεθα ἐπί τε τοῖς ἐργαστηρίοις, ἐπί τε ταῖς προσόδοις, ἐπί τε ταῖς ἐκφοραῖς ταῖς τε προῖκα ταῖς τε κατὰ φιλοτιμίαν γινομέναις. Φύλακας δὲ τάττομεν τοῦ ἀμείωτον ἀεὶ φυλάττεσθαι τὸν τῶν ἐργαστηρίων ἀριθμόν, οὐ μόνον τὸν ἐνδοξότατον ἔπαρχον τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ τὴν αὐτῷ πειθομένην τάξιν, ἀλλὰ πολλῷ μᾶλλον τὴν σὴν ὑπεροχήν, καὶ τοὺς ἀεὶ τῆς ἀρχῆς προεστησομένους ἧς νῦν αὐτὸς ἐφέστηκας. καὶ πρός γε καὶ ποινὴν ὁρίζομεν κατά τε τῆς τάξεως τῆς σῆς, εἴ τις ῥαθυμήσειε, quinquaginta librarum auri, κατά τε τῶν ἀεὶ τὴν σὴν παραληψομένων θρόνον διπλασίαν· ὥστε μὴ συγχωρῆσαι ποτὲ τὸν τῶν εἰρημένων χιλίων ἑκατὸν ἐργαστηρίων ἀριθμὸν ἐλλεῖψαι, κατὰ τὴν εἰρημένην ἡμῖν διαίρεσιν. ἀλλ' εἰ διδαχθείη τοῦτο, ἢ αὐτὸς ἢ οἱ μετὰ σὲ τούτου πᾶσαν τίθεσθαι πρόνοιαν, καὶ παρασκευάζειν αὐτὸν ἀμείωτον διὰ παντὸς μένειν καὶ ἀβαρῆ καὶ ἀνεπινόητον παρά τε τῆς σῆς ὑπεροχῆς καὶ παντὸς ἑτέρου προσώπου· ὥστε μὴ ταύτην γενέσθαι πρόφασιν τοῦ παρὰ τὸ διωρισμένον ἡμῖν δοθῆναί τινα μισθὸν ὑπὲρ κηδείας τινὸς προσώπου· οὐδεμιᾶς διακρίσεως γινομένης τῶν προσώπων τῶν τελευτώντων, εἴτε πλουτοῖεν, εἴτε πένοιντο· πλὴν εἰ μή, καθάπερ εἰπόντες ἔφθημεν, μίαν τῶν τριῶν κλινῶν ἕλοιντο, ἐφ' αἷς τὰ προσήκοντα διετυπώσαμεν. Καὶ βουλόμεθα κἀκεῖνα κρατεῖν κατὰ τοῦτον τὸν τρόπον, καὶ εἶναι διὰ παντὸς ἀκίνητά τε καὶ ἀθάνατα. τοῦ δὲ τοῦ θείου πραγματικοῦ νόμου διὰ παντὸς κρατοῦντος, ἕως εἰσὶν ἄνθρωποι, ἕως τὸ μέγα καὶ πολυύμνητον τῶν Χριστιανῶν ὄνομα ἐν ἀνθρώποις ἐστί, καὶ καθ' ἡμέραν διὰ τῆς τοῦ δεσπότου θεοῦ φιλανθρωπίας αὔξεται. προνοοῦντος δηλαδὴ τούτου πρὸ τῶν ἄλλων ἁπάντων, αὐτοῦ τοῦ ὁσιωτάτου πατριάρχου ταύτης τῆς εὐδαίμονος πόλεως, ὥστε μετὰ τῆς ἱερατικῆς ἐξουσίας αὐτὸν τῷ πράγματι χρώμενον, μὴ συγχωρεῖν παρὰ μηδενὸς προσώπου, μήτε ἱερατικοῦ, μήτε ἀρχοντικοῦ, μήτε τῶν ἄλλων μηδενὸς παραβαίνεσθαι τὰ παρ' ἡμῶν διατεταγμένα. ἀλλὰ καὶ αὐτὴν τὴν βασιλείαν κατακρίνομεν, εἰς τὸν

μέγαν

Universidad Carlos III de Madrid. Biblioteca

μέγαν ἀφορῶσαν θεὸν, ὥστε τὸν ἀεὶ τῶν σκήπτρων κύριον ἀγρύπνως τούτου τοῦ πράγματος προνοεῖν. οὐ γὰρ ὑπὲρ μόνων ἐστὶ τοῦτο τῶν τελευτώντων, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν ζώντων καὶ μάλιστα τῶν βασιλευόντων σωτηρίας, ὃ τὰς εὐσεβεῖς πράξεις πάντως εἰς ἔργον ἄγεσθαι, καὶ μὴ τὴν τῶν προπεπονηκότων ἀγαθοεργίαν ὑπὸ τῆς τῶν ἐφεξῆς ῥᾳθυμίας ἀπόλλυσθαι. ὥσπερ δὲ τὰ χίλια ἑκατὸν ἐργαστήρια ἀμείωτα καὶ ἀτελῆ φυλάττεσθαι διετυπώσαμεν, οὕτω τὰ λοιπὰ πάντα ἐργαστήρια ὑποτελῆ καθεστάναι θεσπίζομεν, μηδενὸς παντελῶς ἄδειαν ἔχοντος ἐξαιρεῖν αὐτὰ τοῦ τέλους, μήτε τῶν εὐαγῶν οἴκων, μήτε ξενώνων, μήτε ἀσκητηρίων, ἢ μοναστηρίων, ἢ ἑτέρου τινός· ἀλλὰ μηδὲ αὐτοῦ τοῦ βασιλικοῦ ἡμῶν οἴκου, ἢ τῶν ἐν ἀρχαῖς, ἢ τῶν ἐν δυνάμεσιν. ἀλλὰ πάντων τῶν ἐργαστηρίων ὁμοίως ἐπιγινωσκόντων τὰ τέλη, ὥστε μὴ τῷ κατὰ μικρὸν ἕκαστον ἐξσκουσεύειν, καὶ τὸ ἴδιον ἐλαφρύνειν, τοῖς ὑπολελειμμένοις ὀλίγοις οὖσι τὸ πᾶν ἐπιτιθέναι βάρος, κἀντεῦθεν μεγάλην ὑφίστασθαι ζημίαν τοὺς φέρειν αὐτὴν οὐ δυναμένους. Ἡ τοίνυν σὴ ὑπεροχὴ καὶ οἱ μετὰ σὲ τὴν αὐτὴν ἀρχὴν παραληψόμενοι, καὶ ἡ πειθομένη σοι τάξις, τὰ παραστάντα ἡμῖν διὰ τοῦ παρόντος θείου πραγματικοῦ τύπου, νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον φυλάξουσιν.

DAT. III. NOV. CONST. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. POST BIL. V. C. CONS. ANN. II.

## Περὶ τοῦ τοὺς τελευτῶντας, ἤγουν τὰ λείψανα αὐτῶν, μὴ ἐνυβρίζεσθαι παρὰ τῶν δανειστῶν. καὶ περὶ τοῦ τοὺς παρέδρους μὴ δέχεσθαι διαγνώσεις χωρὶς τῶν ἀρχόντων, μήτε προκάταρξιν ποιεῖν, μήτε ἀποφάσεις ἐκφέρειν. Διάταξις ξ.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

ΟΙ τῆς ἀληθείας τῶν πραγμάτων ἐστοχασμένοι οὐκ ἂν ῥᾳδίως εἰς μέμψεις χωροῖεν εἰ τἀληθῆ κατεξετάζοιεν. τινὰς γὰρ εἰκὸς τῷ πλήθει τῶν νόμων τῶν καθ' ἑκάστην παρ' ἡμῶν προστιθεμένων ἐπιμέμφεσθαι, οὐκ ἐννοοῦντας ὅτι τῆς χρείας ἀεὶ καλούσης, συμφώνους τοῖς πράγμασι τιθέναι νόμους ἀναγκαζόμεθα, τῶν ἀεὶ παραδόξως ἀναφυομένων, ὑπὸ τῶν ἤδη γραφέντων θεραπεύεσθαι μὴ δυναμένων. ὁποῖον δή τι καὶ ἔναγχος ἐγνώσθη. Ὀφείλεσθαι γάρ τις λέγων παρά τινος, ἐπειδὴ τὸν ἄνθρωπον ἐπιθάνατον ἔγνω καθεστάναι, στρατιώτας ἀθροίσας καὶ οἰκέτας, καὶ ἑτέρους ὡς πλείστους, ἔπεισιν αὐτῷ τελευτῶντι. ὁ δὲ δυσχεραίνων τε καὶ βοῶν διετέλεσεν, ἕως αὐτὸν ὑπὸ τῆς βίας συνωθούμενον ἀφῆκεν ἡ ψυχή. ὁ δὲ τὰ σήμαντρα ἐπετίθει τοῖς πράγμασι κατ' οἰκείαν ἐξουσίαν, παρόντος οὐδενὸς τῶν ἐν ἀρχῇ τεταγμένων, ἢ τινος ὅλως νομίμης καὶ πολιτικῆς τάξεως φυλαττομένης. καὶ οὐδ' οὕτως ἀνῆκεν, ἀλλὰ καὶ εἰς νεκρὸν ὑβρίζειν οὐκ ὤκνει, πρότερον μὲν ἐνιστάμενος μὴ γίνεσθαι τὴν ταφὴν, εἶτα, ἐπειδὴ μόλις ἐνέδωκεν οἴκοθεν κατενεχθῆναι τὸν νεκρὸν, ἵστη δημοσίᾳ τὴν ἐκφορὰν, τῆς κλίνης ἐπιλαβόμενος· καὶ οὐκ ἀνήσειν ἔλεγεν εἰ μὴ τὸ χρέος κομίσαιτο. ἕως καὶ ἀντιφωνητὴν ἔλαβε, καὶ οὕτως τὸν ἤδη τεθνεῶτα παραδοθῆναι τῇ γῇ συνεχώρησεν. Ἐπὶ μὲν οὖν τῆς ὑποθέσεως καθ' ἣν ταῦ-



Universidad Carlos III de Madrid. Biblioteca

τα ἡμάρτηται, τὰ προσήκοντα διετυπώθη· χρῆναι δὲ ἡγούμεθα καὶ γενικῷ νόμῳ ταῦτα ἐπανορθῶσαι, οὐ συγχωροῦντες αὐτὰ καὶ αὖθις πλημμεληθῆναι, μένοντα μέχρι παντὸς ἀνομοθέτητα. Θεσπίζομεν τοίνυν, εἴ τις, ἐκείνου περιόντος ἐπὶ τοῦ νομιζομένου χρεωστεῖν αὐτῷ, καταλάβοι τὴν οἰκίαν τὴν αὐτοῦ, καὶ ἐνοχλοίη περιόντα τὸν ἄνθρωπον, καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ (γαμετὴν φαμὲν, καὶ παῖδας, καὶ οἶκον ὅλως) ἢ καὶ σήμαντρα κατ᾽ οἰκείαν ἐξουσίαν ἐπιτιθέναι τολμῴη, μὴ προτέρου ψήφου καὶ τάξεως νομίμης μετὰ τὴν τοῦ λεγομένου χρεωστεῖν τελευτὴν φυλαχθείσης· τῆς μὲν ἀγωγῆς πάντως ἐκπιπτέτω, εἴτε δικαίαν ἔχοι ταύτην, εἴτε καὶ μή· ὁπόσον δὲ ὀφείλεσθαι λέγει, τοσοῦτον ἕτερον προσαπαιτείσθω, καὶ διδότω τοῖς τοῦ περιυβρισμένου κληρονόμοις, δήμευσίν τε εἰς τὸ τρίτον τῆς περιουσίας ὑφιστάσθω (καθὰ καὶ Μάρκος ὁ φιλοσοφώτατος τῶν αὐτοκρατόρων ἐπὶ τῶν ἑαυτοῦ γέγραφε νόμων) καὶ ἀτιμίᾳ πληττέσθω. ὁ γὰρ τὴν ἀνθρώπου φύσιν οὐκ αἰδεσθεὶς, δίκαιος ἂν εἴη καὶ χρήμασι καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι ζημιοῦσθαι. Εἰ δὲ καὶ τελευτήσαντός τινος, περὶ τὴν ταφὴν ἁμάρτοι τι τοῦ τελευτήσαντος, καὶ τὴν ἐκφορὰν κωλύοι, γέγραπται μὲν ἤδη νόμος καὶ τῷ ἡμετέρῳ πατρὶ περὶ τούτων, πλὴν ἀλλὰ καὶ ἐξ ἡμῶν μείζων ἐπέσθω τοῖς πλημμελήμασι ποινὴ, καὶ τοῖς αὐτοῖς ὑποκείσθω οἷς ὁ παρὼν ὑπάγει νόμος τοὺς ἐν ζωῇ τοιοῦτό τι ὁποῖον ἔφημεν πλημμελήσαντας. τούτου πρόνοιαν τιθεμένου διαφερόντως μὲν τοῦ ἐνδοξοτάτου ἐπάρχου τῆς εὐδαίμονος ταύτης πόλεως (ᾧ τῆς τῶν τοιούτων ἐπανορθώσεως μέλει) οὐδὲν δὲ ἧττον καὶ τοῦ ἐνδοξοτάτου τῶν ἱερῶν ἡμῶν πραιτωρίων ὑπάρχου, καὶ τοῦ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ἡμῶν ὀφφικίων, καὶ τῶν ἀεὶ τούτοις πειθομένων τάξεων. δεῖ γὰρ, κοινῶν ὄντων κατὰ τῆς φύσεως τῶν ὑβρισμάτων, κοινὴν εἶναι παρὰ τῶν ἀρχόντων καὶ τὴν ἐπὶ τούτοις κώλυσίν τε καὶ ἐκδίκησιν. τούτων οὐκ ἐπὶ μόνης ταύτης τῆς εὐδαίμονος πόλεως κρατούντων, ἀλλὰ καὶ ἐν ἅπασι τοῖς ἔθνεσιν ὧν ἡμῖν τὴν ἡγεμονίαν, τὴν μὲν ἐξ ἀρχῆς ἔδωκεν ὁ θεὸς, τὴν δὲ προσέθηκεν, ἤδη ἔτι καὶ δώσει (φησί τις τῶν παρ᾽ ἡμῖν·) τῶν ἐπιχωρίων ἀρχόντων, εἴτε στρατιωτικῶν, εἴτε πολιτικῶν, τούτου πρόνοιαν τιθεμένων. ἐπέστω γὰρ τοῖς μὲν ἐνταῦθα ἄρχουσι καὶ τῇ τούτων τάξει ἀνὰ viginti librarum auri ποινὴ, εἴ τινος ῥαθυμήσαιεν τούτων· ταῖς δὲ ἐπιχωρίοις, ἀνὰ πέντε, εἴγε μηδὲ αὐταὶ πρὸς τοῦτο ὁρμῷεν, προσαγγελίας τινὸς ἢ ἐνταῦθα ἢ κατὰ χώραν γινομένης. Κἀκεῖνο γε μὴν ὀρθῶς ἔχειν συνείδομεν, τὸ μὴ συγχωρεῖν (καθάπερ καὶ ἡ Ζήνωνος τῆς εὐσεβοῦς λήξεως λέγει διάταξις, καὶ ἡ ἡμετέρα μέντοι) τοὺς παρέδρους τῶν ἀρχόντων, αὐτοὺς τῶν ὑποθέσεων ἀκούειν αἳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς δεδομένοις ἐξ ἡμῶν δικασταῖς κινοῖντο. πολλῷ γὰρ ἂν κάλλιόν τε καὶ τελεώτερον ἐπ᾽ αὐτοῖς τοῖς ἄρχουσι, παρόντων ἐκείνων, αἱ ὑποθέσεις κινοῖντο δέους τε ἐφεστῶτος τοῖς ὑπηρετουμένοις, καὶ τοῖς, ὡς εἰκὸς, παραγινομένοις μάρτυσι, καὶ ὅλως τοῦ πράγματος τὴν οἰκείαν ἔχοντος σεμνότητα· ἢ, εἴπερ χαμαιδικασταὶ τὰ τοιαῦτα κρίνοιεν, οὐδὲν τῶν παρέδρων τῆς ἐκείνων διεστώτων τάξεως. ἀλλ᾽ ἐπεὶ αἱ σὺν ἡμῖν οὖσαι διηνεκῶς ἀρχαὶ ταῖς ἀσχολίαις τῶν πραγμάτων καὶ τῶν ἡμετέρων κελεύσεων κατειλημμέναι, πρὸς ταύτην τὴν ἀνάγκην καταφέρονται, δεῖ σύμφωνόν τε καὶ ἁρμόδιον τὸν νόμον τοῖς πράγμασι ποιήσασθαι. Θεσπίζομεν τοίνυν, τὰς μὲν προκατάρξεις ἐκ τρόπου παντὸς παρ᾽ αὐτοῖς γίνεσθαι τοῖς ἄρχουσιν, εἴτε μείζους, εἴτε ἐλάττους εἶεν, ἀλλὰ καὶ ἐν μέσαις ταῖς δίκαις εἰσάγεσθαι πάλιν παρ᾽ αὐτοῖς προσάπαξ γοῦν τὴν ὑπόθεσιν· ὥστε αὐτοὺς τὰ προηγωνισμένα μαθεῖν. ἐπειδὰν δὲ αὐτοτελὴς ἀπόφασις ἐκφέρεσθαι μέλλοι, κατὰ μηδένα τρόπον τολμᾶν

Universidad Carlos III de Madrid. Biblioteca

τοὺς παρέδρους χωρὶς τῶν ἀρχόντων ἀκούειν, ἀλλὰ μετὰ τῆς προσηκούσης σεμνότητος, ἣν ἤδη διετάξαμεν, τῶν θείων προκειμένων λογίων, αὐτούς τοὺς ἄρχοντας καὶ ἀκούειν τῶν ἠγωνισμένων ἀπάντων ἐφεξῆς, καὶ κρίνειν τὰς ὑποθέσεις αὐτούς, καὶ δέχεσθαι τὰς ἐφέσεις, εἴπερ τις ἐφείη, χωρὶς ἁπάσης ὑπερθέσεως, ἔνθα ὁ νόμος τοῦτο γίνεσθαι συγχωρεῖ· καὶ αὐτῆς τοὺς ἐφέτας ἐκ τρόπου παντὸς δι' ἑαυτῶν ἀκροᾶσθαι τῶν ὑποθέσεων, οὐδενὸς ἑτέρως πράττειν τολμῶντος· ἐπεὶ εἴ τι τοιοῦτο γένοιτο, αὐτῶν μὲν τῶν ἀρχόντων ἀνὰ viginti librarum auri ὑφορωμένων ποινήν, τῶν δὲ παρέδρων οἳ τοῦτο πράττειν ἐθάρρησαν, εἰ μὲν συνήγοροι εἶεν, ἐκβαλλομένων τοῦ τῶν λογιωτάτων ῥητόρων καταλόγου· εἰ δὲ οὐ συνήγοροι καθεστᾶσιν, ἀλλ' ἕτεροί τινες, καὶ τῆς ζώνης, εἴ τινα ἔχοιεν, ἀφαιρουμένων, καὶ decem librarum auri σωφρονιζομένων ποινῇ. οὐδὲ γὰρ δή που καὶ τὴν Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διαπτύσομεν διάταξιν, καὶ τὴν προτέραν τὴν ἡμετέραν καὶ τὴν παροῦσαν, οἴεσθαι ὡς τὰς προσποιήσασθαι τὰς ταύτης διαφεύξονται ποινάς. μελήσει γὰρ τῷ κατὰ καιρὸν ἐνδοξοτάτῳ κόμητι τῶν θείων ἡμῶν πριβάτων τούτου τοῦ πράγματος ποιεῖσθαι πρόνοιαν, καὶ ἀπαιτεῖν τὰς ποινάς, καὶ εἰσάγειν τοῖς ταμείοις, ὅταν τι τοιοῦτο πλημμεληθεὶν γινώσκοντι καὶ αὐτῷ ὡς οἴκοθεν τὸ δημόσιον ἀποπληρώσει, μὴ τούτου ποιούμενος τὴν προσήκουσαν πρόνοιαν. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τῶν ἀρχόντων ψηφιζόμεθα, οἳ καὶ περὶ τὸ δημόσιον ἐστὶ περὶ τὰς ἡμετέρας κελεύσεις ἀσχολίαι τὴν τοῦ μὴ δι' ἑαυτῶν ἀκροᾶσθαι τὸ πλὴν διδόασι συγγνώμην. τοὺς δέ γε ἄλλους ἅπαντας δικαστάς, ὅσοι μηδεμίαν μὲν ἀρχὴν ἄρχοντες, δίκας δὲ ἐκ κελεύσεων ἡμετέρων ἀκροώμενοι, ἢ ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως ἢ ἐν ἑτέραις τοιοῦτό τι πράξαιεν, καὶ τοὺς ἐν τάξει παρέδρων συνακροωμένους αὐτοῖς, ἔτι σφοδροτέραις μετίμεν ποιναῖς, εἰ μὴ διὰ πάσης ἐφεξῆς τῆς δίκης αὐτοὶ μετὰ τῶν οἰκείων παρέδρων ἀκροάσονται τῆς ὑποθέσεως. καὶ ἀξιωμάτων γὰρ ἔκπτωσιν αὐτοῖς ἀπειλοῦμεν, καὶ ποινὴν ἀνὰ viginti librarum auri· καὶ τοῖς αὐτῶν παρέδροις, τὸ αὐτῆς ἐξελαύνεσθαι τῆς πόλεως ἐν ᾗ ταῦτα πράξαιεν, καὶ πρός γε καὶ αὐτῆς τῆς οἰκείας ἐκπίπτειν ἐπιτιμίας. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἅπασι ποιησάτω φανερά, κατὰ τὸν νενομισμένον τρόπον κηρύγμασι κατὰ τὰς ἐπαρχίας χρωμένη. ὥστε μηδὲν τῶν ἐθνῶν διαλαθεῖν τι τῶν παρ' ἡμῶν θεσπισθέντων. ἐπὶ γὰρ τῆς εὐδαίμονος ταύτης πόλεως ὁ ἐνδοξότατος ἔπαρχος ταῦτα πράξει. DAT. K. DECEMB. CONST. IMP. DN. IVST. PP. AVG. ANN. XI. POST BILIS. V.C. CONS. ANN. II.

Περὶ τοῦ τὰ ἀκίνητα τῆς πρὸ γάμου δωρεᾶς μήτε ὑποτίθεσθαι, μήτε ὅλως ἐκποιεῖσθαι παρὰ τοῦ ἀνδρός, μήτε συναινούσης τῆς γυναικός· πλὴν εἰ μὴ μετὰ ταῦτα τὸ ἱκανὸν γένηται αὐτῇ. τὰ αὐτὰ δὲ κρατεῖν ἐστὶ ἐπὶ τῆς προικός. Διάταξις ξα.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΠΡΑΓΜΑ ἐλεεινὸν γίνεσθαι μαθόντες, ἐφ' ἡμῖν αὐτοῖς τῆς ὑποθέσεως



Universidad Carlos III de Madrid. Biblioteca

κινηθείσης, ἐκεῖνο μὲν ἐπηνωρθώσαμεν τὸν προσήκοντα τρόπον, νόμῳ τῷ γενικῷ μετιόντες τὰς τοιαύτας ὑποθέσεις, τοῦτο δὴ τὸ συνηθισμένον ἡμῖν· καὶ θεσπίζομεν, εἴ τις συγγράψειε προγαμιαίαν, ἤγουν τὴν διὰ γάμον, δωρεὰν (οὕτω γὰρ αὐτὴν χρῆναι μᾶλλον καλεῖσθαι νενομοθετήκαμεν) εἴτε αὐτὸς ὑπὲρ ἑαυτοῦ τοῦτο ποιῶν, εἴτε καὶ ἑτέρου γράφοντος, ἢ πατρὸς ἢ μητρὸς, ἢ συγγενῶν, ἢ καὶ ξένων τυχὸν· εἴ τις τοίνυν τοιοῦτό τι ποιήσειε, καὶ γράψειε δωρεὰν ἐν ᾗ καί τι τῶν ἀκινήτων ἐστὶν, ἀπαγορεύομεν αὐτῷ ἢ ὑποτίθεσθαι τὸ λοιπὸν τὸ πρᾶγμα τὸ καταγεγραμμένον εἰς προγαμιαίαν δωρεὰν, ἢ καὶ ἐκποιεῖν ὅλως. τὸ γὰρ ἅπαξ τοῖς δεσμοῖς τῆς προγαμιαίας δωρεᾶς ἔνοχον γενόμενον, οὐκ ἂν εἴη προσῆκον ἐκποιεῖσθαι· ὥστε τὴν γυναῖκα, ἀποβαίνοντος τυχὸν τοῦ κέρδους ὅπερ αὐτῇ προσάγει τὴν προγαμιαίαν δωρεὰν, δυσχεραίνειν, οὐχ εὑρίσκουσαν τὸ πρᾶγμα ἐν τῇ τοῦ ἀνδρὸς περιουσίᾳ, ἀλλ᾽ ἢ ἐκποιηθὲν ἄλλοις ἢ ὑποτεθέν· καὶ δυνατοῖς ἴσως προσώποις, ὡς ἐκείνην διὰ τὰς τοιαύτας αἰτίας ἢ παντελῶς ἄβατον εἶναι τὴν ἐκδίκησιν, ἢ δύσκολον καὶ δικαστηρίων δεομένην· ἐξὸν αὐτόθεν ἑαυτῇ βοηθῆσαι. Ὥστε τοῦτο φυλαττέσθω, καὶ ὁ μετὰ ταῦτα συμβάλλων ἴστω ὡς εἴτε ὠνὴν, εἴτε ὑποθήκην ἔχοι, οὐδὲν τούτων ὄφελος ἕξει παντελῶς, ἀλλ᾽ ἐν ἴσῳ τοῖς ἀγράφοις τε καὶ ἀρρήτοις ἔσται τὰ ἐπὶ τούτῳ γεγραμμένα ἢ συμπεφωνημένα. καὶ φυλαττέσθω τῇ γυναικὶ τὸ κέρδος. οὐδὲ γὰρ ἔδοξαν ἡμῖν ἀπὸ τρόπου πεποιηκέναι τινὲς τῶν ἡμετέρων δικαστῶν, εἴπερ καὶ αὐτὴν τὴν in rem ταῖς γυναιξὶ μετὰ τὴν τοῦ γάμου διάλυσιν ἐπὶ τῆς προγαμιαίας δεδώκασι δωρεᾶς. ὅπερ ὀρθῶς εἰργασθὲν, εἶτα ὑπὸ τῶν μετὰ ταῦτα δικαζόντων ὑπὸ περιττοτέρας δῆθεν τινὸς ἀκριβείας παρεώραται. Καὶ μή τινας ὁδοὺς ἐξευρισκέτωσαν οἱ τὰς τετεχνασμένας λαμβάνοντες ὑποθήκας, τὸ παρασκευάζειν τὰς γυναῖκας συναινεῖν, καὶ οὕτως τῶν οἰκείων ἐκπίπτειν δικαίων. συναίνεσις γὰρ ἐπὶ τῶν τοιούτων ἢ εἰς ὑποθήκην, ἢ εἰς ὠνὴν, ἢ εἰς ἄλλην ἐκποίησιν γεγραμμένη, τὸν λαμβάνοντα παντελῶς οὐκ ἂν ὀνήσειεν εἰ παράπαξ τὰ τῆς συναινέσεως γένοιτο. ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν intercessionων ἐγράψαμεν, τὸ δεῖν διετοῦς ὕστερον χρόνου παριόντος, αὖθις ἑτέραν ὁμολογίαν γράφειν, βεβαιοῦσαν τὴν συναίνεσιν, καὶ τότε κύριον εἶναι τὸ γινόμενον· οὕτω κἀνταῦθα γινέσθω. καὶ εἰ συναινέσειεν ἡ γυνὴ κατὰ τὸ τῶν intercessionων σχῆμα, ἔστω παντελῶς ἀζήμιος· εἰ μὴ καὶ δευτέραν (καθάπερ εἰπόντες ἔφθημεν) ποιήσαιτο συναίνεσιν. πολλὰ γὰρ ἂν ἐκ πρώτης εὐθὺς ἀκοῆς ἁμαρτηθείη, τῆς γυναικὸς ἢ δέει τοῦ συνοικοῦντος, ἢ ἀπάταις ῥᾳδίως ὑπαγομένης, καὶ τῶν οἰκείων ἀμελούσης δικαίων· κατασκεπτομένη δὲ ἐν πλείονι χρόνῳ τὴν ὑπόθεσιν, γένοιτο ἂν ἑαυτῆς ἀσφαλεστέρα. πλὴν οὐδὲ τοῦτο ἁπλῶς δίδομεν, ἀλλὰ τηνικαῦτα τὴν γυναῖκα ὑπὸ τὴν ἐκ τῆς δευτέρας συναινέσεως ἄγομεν ζημίαν, ἡνίκα ἐστὶν ἕτερα πράγματα ἐξ ὧν δυνατὸν αὐτῇ τὸ ἱκανὸν γενέσθαι τοῦ περιεχομένου τῇ προγαμιαίᾳ δωρεᾷ πράγματος, ἢ πραγμάτων ἀκινήτων ὑφ᾽ ἑτέρου κατεχομένων, διὰ τὸν τῆς ἐκποιήσεως ἢ ὑποθήκης τρόπον. ἐπείτοιγε εἰ μηδὲν ἕτερον περιλείποιτο, οὐδὲ οὕτω βλάβην ὑπομεῖναι τὴν γυναῖκα συγχωροῦμεν, ἀλλὰ κἂν εἰ δὶς, κἂν εἰ πολλάκις συναινέσειε, τὸ πρᾶγμα εἰς τὸν τοῦ intercessionος φερέσθω λόγον, καὶ ἔστω πανταχόθεν ταύτῃ τὸ κέρδος ἐν ἀσφαλεῖ κείμενον, εἰ φανείη μηδὲν ὑπολελειμμένον ἕτερον, ἀρκοῦν πρὸς τὴν τῆς προγαμιαίας δωρεᾶς ποσότητα. καὶ ταῦτα φαμὲν οὐ μόνον κηδόμενοι τῶν γυναικῶν, ἀλλὰ καὶ πολλῷ μᾶλλον τῶν ἀνδρῶν τῶν ταῦτα ποιούντων· εἴγε ἐκ πολλῶν καὶ σχεδὸν τῶν πλείστων θεμάτων τοῖς χρόνοις

Universidad Carlos III de Madrid. Biblioteca

παυσὶ τὰ τῆς προγαμιαίας δωρεᾶς φυλάττεται πράγματα, καὶ αὖθις ταῦτα μένειν παρὰ τῇ οὐσίᾳ τοῦ ἀνδρὸς, καὶ τῆς ἐκείνου διαδοχῆς, καὶ ταύτης τῆς παρατηρήσεως, ὥστε συμφέροντα τὸν νόμον τῇ τε γυναικὶ τῷ τε ἀνδρὶ κατὰ τούτους τοὺς λογισμοὺς καθεστάναι· καὶ πολλῷ μᾶλλον ταῦτα ἐπὶ τῆς προικὸς κρατεῖν, εἴπερ τινὰ τῆς προικὸς ἢ ἐκποιήσειεν ἢ ὑποθοῖτο. ἤδη γὰρ τὰ τοιαῦτα ἱκανῶς πεπείρασται καὶ νενομοθέτηται. Ἀλλ' οὐδὲ αὐτῶν τῶν συμβαλλόντων καθάπαξ ἀμελοῦμεν. εἰ γὰρ καὶ τὸ ἐπὶ τούτοις ἐνοχλεῖν ὅσον πρὸς τὰς γυναῖκας ἄρρητόν τε καὶ ἄγραφον εἶναι βουλόμεθα, ἀλλ' αὐτοὺς τοὺς ἄνδρας ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασιν ἐνέχεσθαι θεσπίζομεν, προφάσει τῆς ἐκποιήσεως, ἢ τῆς ὑποθήκης, τὸ μὲν γυναιξὶ φυλάττοντες τὸ ἐπ' αὐτοῖς τοῖς ἀκινήτοις πράγμασι τῆς προγαμιαίας δωρεᾶς δίκαιον ἀκαινοτόμητον, ἐκείνοις δὲ τὸ ἁρμόζον δίκαιον ἐκ τῶν συμβολαίων, ὅσον ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασι· πάντων τῶν τῇ προικὶ δεδομένων ἤδη παρ' ἡμῶν προνομιῶν, ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος, ὅταν ἡ γυνὴ κινοίη. τοῖς γὰρ ἄλλοις ἅπασι, πλὴν τῆς γυναικὸς, τὸ τοιοῦτο προνόμιον οὐδὲ ἐξ ἀρχῆς δεδώκαμεν, οὐδὲ νῦν δίδομεν.

Η τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἅπασι ποιησάτω φανερὰ, κατὰ τὸν νενομισμένον τρόπον, κηρύγμασι κατὰ τὰς ἐπαρχίας χρωμένη. ὥστε μηδὲν τῶν ἐθνῶν διαλαθεῖν τὰ παρ' ἡμῶν θεσπισθέντα. ἐπὶ γὰρ τῆς εὐδαίμονος ταύτης πόλεως ὁ ἐνδοξότατος ἔπαρχος ταῦτα προθήσει.

DAT. K. DECEMB. COSTANTINOP. PP. AVGVST. ANN. XI. POST BILIS. V. C. CONS.

Αὕτη ἡ ξβ διάταξις οὐχ εὑρέθη.

## Περὶ συγκλητικῶν. Διάταξις ξβ.

* * * * * * * * * *

## Περὶ καινοτομιῶν τῆς ἐπὶ θάλασσαν ἀπόψεως. Διάταξις ξγ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΛΟΓΓΙΝΩ ΕΠΑΡΧΩ τῆς εὐδαίμονος ταύτης πόλεως.

ΠΡΑΓΜΑ δολερῶς γινόμενον ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως περὶ τὰς τῶν οἴκων οἰκοδομὰς, ἀναστεῖλαι καὶ ἐπανορθῶσαι δίκαιον ἡγησάμεθα. ἐπειδὴ γὰρ ῥητοῖς μέτροις διεστάναι τοὺς οἴκους ἀλλήλων ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις λέγει, καὶ ἡμεῖς δὲ τοιοῦτό τι νενομοθετήκαμεν· ἐπῆκται δὲ ὥστε ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως μὴ δύνασθαί τινα ἑκατὸν ποδῶν εἴσω κωλύειν θαλάττης ἄποψιν, πράγματος χαριεστάτου· ἐχρῆν μὲν ἴσως καὶ ἐκ πλείονος μέτρου τὰς ἀπόψεις αὐτοῖς αἱρεῖσθαι, καὶ μὴ ταύτας κωλύειν, πλὴν ἀλλὰ καὶ τοῦτο παραδόξῳ τινὶ προσμεμηχάνηνται τέχνῃ. τινὲς γὰρ τὸ τῶν ἑκατὸν ποδῶν καταλιπόντες μέτρον, ἢ καὶ βραχύ τι τούτῳ προσθέντες, εἶτα οἰκοδομεῖν ἐκεῖσε οὐδὲν ἕτερον ἔχοντες, ἀλλὰ καθάπερ τι παραπέτασμα παρατείνοντες, ἐπειδὰν ἀφέλωνται τὴν τῆς θαλάττης ἄποψιν, κατὰ πᾶσαν ἐξουσίαν, καὶ οὐ μαχόμενοι τῷ νόμῳ, διὰ τὸ τῶν ἑκατὸν ποδῶν διάστημα, ἔνδον οἰκοδομοῦσιν ἀκωλύτως· καὶ ἐπειδὰν τοῦ ζητουμένου τύχοιεν, καθαιροῦσιν ἐκεῖνο τὸ διὰ τὴν χρείαν αὐτοῖς ἐπινενοημένον. καὶ οὕτω



Universidad Carlos III de Madrid. Biblioteca

τὸ σχῆμα σοφισάμενοι, πάσης τέρψεως ἀλλοτρίας τὰς τῶν κεκτημένων καθιστᾶσιν οἰκίας. ὅπερ τοῦ λοιποῦ γίνεσθαι κατ' οὐδένα βουλόμεθα τρόπον. ἀλλ' εἴ τις βούλοιτο τοιοῦτό τι σχεδιάσαι καὶ κακουργῆσαι, μὴ τοιαῦτα παιζέτω. ἀλλ' εἴπερ τούτου δέοιτο ταῖς ἀληθείαις, οἰκεῖον ὅλον οἰκοδομείτω, καὶ μέχρι τοῦ διαστήματος πάντως τοῦ τῶν ἑκατὸν φαμένων ποδῶν, χωρείτω τὰς οἰκοδομίας ποιῶν, ὡς ἀναγκαίας αὐτῷ καὶ ἀπαραιτήτους ἐσομένας· μὴ μὴν διὰ τὴν τοῦ γείτονος ἐπιβουλὴν, διὰ τοῦτο σχεδιαζέτω τοίχους, καὶ ὥσπερ ἐπί τινος γραφῆς τὴν τοιαύτην ἐκτείνας σκιαγραφίαν, τὴν ἀφαίρεσιν τῆς ἀπόψεως ἁρπαζέτω. ὥσπερ γὰρ τοὺς τὰ ἄλλα ἁρπάζοντας εἰκότως ἀποστρεφόμεθα, καὶ ποινῆς ἀξίους νομίζομεν· οὕτω καὶ τοὺς τοῦτο τεχνωμένους, οὐδενὸς ἐλάττονας εἰς κακίαν τῶν καὶ τὰ ἄλλα πράγματα ἁρπαζόντων νομίζομεν. ὥστε εἰ καὶ τῷ σμικρόν τι πρᾶγμα λαβεῖν κατὰ τρόπον ἁρπαγῆς θαρρήσαντι ἡ vi bonorum raptorum μετὰ τῆς τετραπλασίας ἔπεισι ποινῆς, πῶς οὐχὶ καὶ τοῦτον ἀνάγκη τὸν τοιοῦτό τι πράξαντα, καὶ καθελεῖν ἀναγκάζεσθαι τὸ παρ' αὐτοῦ γενόμενον, καὶ ἑτέρᾳ μείζονι ποινῇ σωφρονισθῆναι; τουτέστι decem librarum auri, εἰσκομιζομένων τῇ θεατραλίᾳ τῆς σῆς ὑπεροχῆς ἵνα μὴ κακὸς γείτων (τοῦτο δὴ τὸ τοῦ λόγου) γενόμενος, ἄπεισι καταγελῶν τοῦ νόμου, ὡς οὐκ ἰσχύσαντος αὐτὸν ταῖς οἰκείαις ὑπαγαγεῖν διατυπώσεσι. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἡ σὴ ὑπεροχὴ κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν ἔργῳ καὶ πέρατι παραδοῦναι, καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν, ἅμα τῇ πειθομένῃ αὐτῇ τάξει, σπευσάτω· τῆς αὐτῆς (τουτέστι τῶν decem librarum auri) ἐπικειμένης ποινῆς καὶ κατὰ τῶν ταῦτα παραβαινόντων, ἢ παραβαίνεσθαι συγχωρούντων. DAT. VII. ID. MART. CONSTANTINOP. IMP. DN. IVST. PP. AVG. ANN. XI. IOHANNE V. C. CONS.

## Περὶ τῶν κηπουρῶν. Διάταξις ξδ'.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΛΟΓΓΙΝΩ ΤΩ ἐνδοξοτάτῳ ὑπάρχῳ τῆς εὐδαίμονος καὶ βασιλίδος ταύτης πόλεως.

ΠΟΛΛΑΙ πανταχόθεν ἡμῖν μέμψεις ἐκ χρόνου πολλοῦ κατὰ τῶν τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τῶν αὐτῆς προαστείων κηπουρῶν προσφέρονται, δυσχεραινόντων ἁπάντων πρὸς τὴν αὐτῶν κακουργίαν. τὰ δὲ προσαγγελλόμενα, τοιαῦτά πώς ἐστι. φασὶν ἐκ τοῦ συστήματος τῶν κηπουρῶν καὶ τοὺς διατιμητὰς ὡς ἐπὶ τὸ πλεῖστον εἶναι, καὶ πρᾶγμα ποιεῖσθαι δεινόν. ἡνίκα μὲν γὰρ ὁ τοῦ κήπου δεσπότης τοῦτον παραδιδοίη τῷ κηπουρῷ τῷ τὴν μίσθωσιν ὑπελθόντι, οὐδὲν ἕτερον ἢ τὸ πεφυτευμένον ἐν αὐτῷ λάχανον ἀποτιμῶνται, καὶ τὴν τούτου διατίμησιν ἐπικλῶσι τῷ λαμβάνοντι κηπουρῷ, ἤτοι μισθωτῇ· ἐπειδὰν δὲ μέλλοι παραδιδόναι μετὰ τὴν περαίωσιν τοῦ χρόνου ὁ μισθωσάμενος, τηνικαῦτα ποιεῖσθαι μὲν αὖθις ἀκριβῆ τοῦ λαχάνου διατίμησιν, ταύτην δὲ εἰς ἑξαπλασίονα καὶ πολλαπλασίονα φέρειν· καὶ εἴπερ αὐτῷ πεντήκοντα χρυσῶν εἴη λάχανον, οὐκ ἔλαττον τριακοσίων, ἔσθ' ὅτε δὲ καὶ πλειόνων διατιμᾶσθαι τοῦτο. καὶ οὐκ ἄχρι τούτου μόνου τὴν τοῦ πράγματος ἱστᾶσιν ἀπληστίαν, ἀλλὰ καὶ μείζω ποιεῖν αὐτὴν κατὰ πολύ, φάσκοντας ὡς κόπρον τε εἶεν ἐμβαλόντες τῇ γῇ, καὶ ἵνα δῆθεν ἔχοιεν ἐμποτίσματα· κἀντεῦθεν ἐξαίρειν εἰς ὅσον αὐ

βουληθείεν τὴν τιμὴν, καὶ ὑπὲρ ἀποτιμήσεως τῶν φυλαχθέντων, ὡς εἰκός, δένδρων, ἑτέρας αὐξήσεις ποιεῖσθαι. καίτοιγε ἡνίκα παραλαμβάνουσι παρὰ τῶν δεσποτῶν, οὐδεμιᾶς τοιαύτης παντελῶς τιμῆς λογιζομένης· καὶ ταῦτα, ὡς ἐπίπαν ἐν τοῖς συμφώνοις ὁμολογούντων τῶν κηπουρῶν ὡς καὶ φυλάξουσι τὰ πεφυτευμένα τῶν δένδρων, καὶ ἕτερα καταφυτεύσουσιν. ἀλλὰ τὸν διατιμητὴν, καὶ ἐφ᾽ ἑαυτῷ τὸ ὅμοιον πρᾶγμα μετ᾽ ὀλίγον ἔσεσθαι νομίζοντα, εἰκότως ὑπὲρ ἑαυτοῦ τὴν τοιαύτην ἀπληστίαν εἰσφέρειν. ὥστε εἴπερ ὁ ταλαίπωρος ἀνάσχοιτο δεσπότης ἐξ ἀπειρίας τοσαύτην δοῦναι ζημίαν, καὶ τὰ ἑαυτοῦ λαβεῖν, ἑτέρῳ δὲ ἐκδοίη κηπουρῷ τὸν κῆπον, καὶ πάλιν ἐπ᾽ ἐκείνῳ τὸ αὐτὸ πάθοι, καὶ πρός γε ἐκ τρίτου τυχὸν ἢ τετάρτου τῆς ἴσης ἀνάσχοιτο πλεονεξίας, κινδυνεύει καὶ αὐτῆς παντελῶς ἐκπεσεῖν τῆς τοῦ κήπου δεσποτείας, καὶ ἀλλότριον τῶν οἰκείων γενέσθαι· ποιεῖσθαι δὲ αὖθις καί τινα μείζονα τῆς ἀτοπίας προσθήκην. εἰ γὰρ ὁ μετὰ ταῦτα ὑπεισιὼν κηπουρὸς προσθείη τι τῇ προτέρᾳ προσόδῳ, καὶ αὐτὸς ταύτης τῆς μισθώσεως παυσάμενος ἀπαιτεῖ τὴν διατίμησιν, ὡς ἐκ τῶν ἐμπονημάτων αὐτοῦ γενομένην. καίτοιγε οὐ πάντως τῆς προσθήκης ἐκ τῆς ἐκείνου καλλιεργίας γινομένης, ἀλλ᾽ ἴσως τὴν ἀρχὴν ἢ κατὰ περιπέτειαν τῶν ἐκδιδόντων, ἢ κατὰ ῥαθυμίαν, ἐπ᾽ ἐλάττοσιν ἤπερ ἐχρῆν, τῆς ἐκδόσεως γινομένης. ἅπερ ἡμῖν ἅπαντα πάσης ἐπέκεινα φαίνεται κακουργίας τε καὶ θρασύτητος· ἣν ἀνασαλεῦσαι βουλόμεθα παρὰ τῆς σῆς ὑπεροχῆς, τῷ δὲ τῷ θείῳ ἡμῶν πραγματικῷ προσεχούσης νόμῳ· καὶ ὥσπερ ὁ κηπουρὸς παραλάβοι τὸν κῆπον παρὰ τοῦ κεκτημένου, οὕτως αὐτὸν καὶ ἀντιπαραδιδόναι. εἰ μὲν λάχανον ἔχοι ἡνίκα ὁ κηπουρὸς αὐτὸν παραλαμβάνει, καὶ διατίμησις γένηται τούτου, ὁμοίως κἂν τῇ παραδόσει, τὴν ἀκριβῆ διατίμησιν τοῦ λαχάνου μόνου λαμβάνειν· εἰ δὲ οὐκ ἔχοι, ἀλλὰ ψιλὸν παραλάβοι τὸν κῆπον, εἴτε ἔχοντα κόπρον, εἴ τε καὶ μή, οὕτω καὶ τὴν ἀντιπαράδοσιν γίνεσθαι· καὶ ἁπλῶς οὕτω τηρεῖσθαι τὴν τοῦ πράγματος τάξιν ἐπὶ τῷ παραδιδόντι κηπουρῷ, ὁποία γέγονεν ἡνίκα παρελάμβανε· μηδεμιᾶς ἑτέρας ἐπαγομένης τῷ δεσπότῃ βλάβης. τὴν δὲ ἀποτίμησιν τῶν λαχάνων μὴ μόνον παρὰ κηπουρῶν γίνεσθαι, ἀλλὰ καὶ παρὰ τῶν καλουμένων summariων, καὶ αὐτῶν τὰ τοιαῦτα ἐπισταμένων, τῶν θείων δηλονότι προκειμένων λογίων. οὐ γὰρ βουλόμεθα τοῖς κεκτημένοις ἀχρήστους εἶναι τὰς κτήσεις διὰ τὴν τῶν ἐκλαμβανόντων πονηρίαν τε καὶ ἀπληστίαν. διὰ ταῦτα τοίνυν ἀθροίσας αὐτοὺς, ὁριεῖς, καὶ οὐ συγχωρήσεις ἐπήρειαν οὐδεμίαν ἐπαχθῆναι τοῖς κεκτημένοις, ἀλλὰ πανταχόθεν αὐτοὺς ἀβλαβεῖς καὶ ἀζημίους διαφυλάξεις. βουλόμεθα γὰρ ἐν ἴσῳ τῷ μέτρῳ καὶ τὰ παρὰ τῶν δεσποτῶν πρὸς τοὺς κηπουροὺς, καὶ τὰ παρὰ τῶν κηπουρῶν πρὸς τοὺς δεσπότας γίνεσθαι· διότι πανταχόθεν ἡμῖν ἰσότητος μέλει, καὶ τοῦ μηδὲ ἕτερον ἀδικεῖσθαι μέρος. εἰ δέ γέ τις γῆν χέρσον ἐκδοίη, ὁ δὲ αὐτὴν ἐξημερώσειε, τὸν ὑπὲρ τῆς ἐξημερώσεως κομίζεσθαι μισθὸν, καὶ τὴν τοῦ ὄντος ἐν αὐτῇ λαχάνου διατίμησιν· οὕτω τε ἀπραγμόνως ἀναχωρεῖν, μηδεμιᾶς ἀπληστίας, μηδὲ κεκακουργημένης τέχνης μηδὲ ἐπὶ τούτῳ γινομένης. ἵνα διὰ τοῦδε ἡμῶν τοῦ θείου πραγματικοῦ νόμου, καὶ τῆς ἐσομένης ἐπ᾽ αὐτῷ διατυπώσεως παρὰ τῆς σῆς ὑπεροχῆς, τοῦ λοιποῦ μείναιμεν ὑπὸ τῶν τοιούτων ἀνενόχλητοι· καὶ μὴ ταῖς λοιπαῖς ἡμῶν ὑπὲρ τῆς πολιτείας φροντίσι καὶ τοιαῦταί τινες ὑπεισίοιεν φροντίδες. διότιπερ ἡμῖν οὐ μικρὸν, οὐ μέγα τῆς ἡμετέρας πολιτείας μέρος ἔξω μερίμνης καθέστηκε, πάντα περινοοῦσι τοῖς τῆς διανοίας ὀφθαλμοῖς, καὶ οὐδὲν ἀκόσμητον, οὐδὲ ἄτακτον, οὐδὲ ἀμφισβητούμενον διαμένειν βουλομένοις. Ἀπειλήσεις δὲ καὶ

ποινὴν quinque librarum auri κατὰ τῶν τοῦ λοιποῦ τοιοῦτό τι πραττόντων, ἢ πράττεσθαι συγχωρούντων. DAT. XVI. K. AVG. CONST. IMP. DN. IVSTIN. PP. AVG. ANN. XI. IOANNE V. C. CONS.

## Περὶ τοῦ τὰ γήδια, ἢ οἴκους, ἢ ἀμπέλους τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Μυσίας εἰς ἀνάρρυσιν αἰχμαλώτων ἢ εἰς ἀποτροφὴν πτωχῶν καταλιμπανόμενα, δύνασθαι ἐκποιεῖσθαι, κατὰ τὸν περιεχόμενον τῇ διατάξει προσδιορισμόν. Διάταξις ξε.

Καὶ αὕτη ἡ ξε διάταξις οὐχ εὑρέθη.

* * * * * * * * * * *

## Περὶ τοῦ τὰς γινομένας νέας διατάξεις, μετὰ τὴν ἐμφάνισιν αὐτῶν μετὰ δύο μῆνας ἄλλοις κρατεῖν. Διάταξις ξϛ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΑΕΙ τῶν νόμων ἡμῖν ἀφορμὰς αἱ τῶν κινουμένων ὑποθέσεων παρέχουσιν αἰτίαι. πολλῶν γὰρ ἡμῖν προσελθουσῶν γινομένων προφάσει τῶν ἡμετέρων διατάξεων, ἃς ἐπὶ ταῖς διαδοχαῖς ἐγράψαμεν (ὁποῖον δὴ τὸ περὶ τοῦ δεῖν οἰκείᾳ χειρὶ τὸν διατιθέμενον τὸ τοῦ κληρονόμου γράφειν ὄνομα. καὶ αὖθις ἐκ πόσων οὐγκιῶν λογίζεσθαι χρὴ τὸ Φαλκίδιον, ὃ τοῖς παισὶν οἱ γονεῖς καταλιμπάνουσιν· εἴτε ἐκ τριῶν, εἴτε καὶ ἐκ τεττάρων, εἴτε ἐκ πλειόνων. καὶ πολλῶν διὰ τοῦτο κινδυνευσασῶν διαθηκῶν ἐκπεσεῖν εἰς τὸ μὴ πληρωθῆναι τὰ ἐν αὐταῖς γεγραμμένα, διὰ τὸ κἂν εἰ γεγόνασιν οἱ νόμοι, πλὴν μὴ γνωσθῆναι ἢ τοῖς ἐν ταῖς ἐπαρχίαις, ἢ καὶ ἐνταῦθα, οὔπω τυχὸν προτεθέντες, οὐδὲ γενόμενοι φανεροί) ἀναγκαῖον ᾠήθημεν τὰ τοιαῦτα νόμῳ βραχεῖ διορίσασθαι. Θεσπίζομεν τοίνυν, ἐξ ἐκείνου τὰς ἡμετέρας διατάξεις τὰς περὶ διαθηκῶν κρατεῖν, ἐξ ὅτου καταφανεῖς ἐν κοινῷ γεγόνασι, καὶ τὸν χρόνον ἐκεῖθεν αὐταῖς συλλογίζεσθαι, τουτέστιν, ἐνταῦθα μὲν, ἐξ ὅτου πᾶσι κατέστησαν ἢ γεγόνασι φαναραί· ἐν ταῖς ἐπαρχίαις δὲ, ἐξ ὅτου πεμφθεῖσαι, κατάδηλοι ταῖς μητροπόλεσι γεγόνασιν, ἢ καὶ ὕστερον γένωνται. ἵνα μὴ τῇ τῶν νόμων ἀγνοίᾳ, κατὰ τὸ πρότερον κεκρατηκὸς, τὰς διαθήκας ἄνθρωποι τιθέντες καὶ πολιτευόμενοι, δόξαιεν παραβαίνειν τὸν νόμον. Ὅπως δ᾽ ἂν σαφέστερον ἔτι τὸ πρᾶγμα δηλωθείη, θεσπίζομεν, εἰ γράφειη τοιοῦτος νόμος, τοῦτον μετὰ μῆνας δύο τοῦ δοθέντος αὐτῷ χρόνου κρατεῖν καὶ πολιτεύεσθαι, εἴτε ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως, εἴτε ἐν ταῖς ἐπαρχίαις· μετὰ τὴν ἐμφάνισιν ἀρκοῦντος τούτου τοῦ χρόνου πᾶσι φανερὸν αὐτὸν καταστῆσαι· τῶν τε συμβολαιογράφων τὴν αὐτοῦ μανθανόντων δύναμιν, τῶν τε ὑπηκόων γινωσκόντων, καὶ τὸν νόμον τηρούντων. οὕτω γὰρ οὐδενὶ παντελῶς ἔσται παραίτησις τοῦ μὴ τὸν ἡμέτερον νόμον φυλάττειν. οὐ γὰρ βουλόμεθα τὰς τῶν τελευτώντων ἀνατρέπεσθαι βουλήσεις, πᾶσι μὲν οὖν σπεύδομεν τρόποις κυ-

Universidad Carlos III de Madrid. Biblioteca

είας αὐτὰς καθεστάναι. τί γὰρ ἂν καὶ ἐγκαλοῖμεν τοῖς τὴν θέσιν τῶν ἡμετέρων ἀγνοήσασι διατάξεων, κἂν εἰ τυχὸν μετὰ βραχὺ τοῦ γραφῆναι τὸν νόμον, τόν γε ἀγνοούμενον ἔτι, προέλθοιεν αἱ διαθῆκαι· καὶ διὰ τοῦτο ἐν ταῖς διαθήκαις ἢ μὴ γραψάντων οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα, ἢ τριούγκιον μόνον καταλιπόντων τοῖς παισί, ἀλλὰ μὴ τετραούγκιον· ἐν ᾧ τὸν νόμον ἢ οὐ κεῖσθαι συνέβαινεν, ἢ καὶ κείμενον, διὰ τὸ μήπω προστεθεῖσθαι, δικαίως ἀγνοεῖσθαι; τοιγαροῦν καὶ μέχρι νῦν, καίτοι παλαιᾶς ἤδη τῆς διατάξεως οὔσης, καὶ ἐν τῷ ἐπωνύμῳ ἡμῶν κειμένης τῶν διατάξεων βιβλίῳ, ἥτις γράφειν οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονομοῦντος ὄνομα διετύπωσεν· ὅμως πολλοὶ παρὰ τὴν αὐτῆς διέθεντο δύναμιν, ἀγνοήσαντες αὐτῆς τὴν νομοθεσίαν· καὶ μέχρι νῦν τὰ τοιαῦτα προφθέντα προσαγγέλλεται τῷ ἡμετέρῳ κράτει. καὶ πᾶσιν ἀεὶ τοῖς τὰ τοιαῦτα δεηθεῖσι συνέγνωμεν, ἐπεὶ μήπω γενέσθαι ταύτας καταφανεῖς συνέβαινε· καὶ θείους ὑπὲρ τούτων ἐποιησάμεθα τύπους, δικαίαν αὐτοῖς φιλοτιμούμενοι τὴν συγγνώμην. Ἵνα τοίνυν μὴ ἐνοχλώμεθα περὶ τούτων καθ᾽ ἑκάστην, καὶ τύπους γράφειν αἰτώμεθα, διὰ τοῦτο θεσπίζομεν, ὡς εἴρηται, τὴν μὲν πρεσβυτέραν τὴν ἐν τῷ Ἰουστινιανῷ κειμένην κώδικι κρατεῖν· ἐνταῦθα μέν, ἐξ οὗ γέγονεν ἐμφανής· ἐν ταῖς ἐπαρχίαις δέ, ἐξ οὗπερ κατεπέμφθη, καὶ φανερὰ γέγονεν ἑκάστῃ τῶν μητροπόλεων ἢ καὶ τῶν ἄλλων πόλεων (χρόνου γὰρ συχνοῦ διελθόντος ἐκεῖθεν, καὶ τοῦ ἡμετέρου κώδικος πανταχόσε πεμφθέντος, οὐκ ἂν εἰκότως ἀγνοοῖτο) τὴν δὲ ἑτέραν τὴν νεωτάτην, ἥτις ἐν ταῖς μετὰ τὸν κώδικα διατάξεσι κεῖται, τὴν ὁρίζουσαν τὸ τοῖς παισὶ καταλιμπανόμενον, κρατεῖν ἐπί τε τῆς εὐδαίμονος ταύτης πόλεως, ἔν τε ταῖς ἐπαρχίαις, μετὰ δύο μῆνας τῆς ἐμφανίσεως, καθάπερ εἰπόντες ἔφθημεν. διότι γινομένων ἡμῖν ἰσοτύπων διατάξεων περὶ τοῦ μέτρου τῆς ἐνστάσεως τῶν παίδων, τῆς μὲν τῇ ἑλλήνων φωνῇ γεγραμμένης, διὰ τὸ τῷ πλήθει κατάλληλον· τῆς δὲ τῇ Ῥωμαίων, ἥπερ ἐστὶ καὶ κυριωτάτη, διὰ τὸ τῆς πολιτείας σχῆμα· ἡ μὲν καλάνδας μαρτίας ἔχει, γραφεῖσα μὲν τότε, οὐκ ἐμφανισθεῖσα δὲ τηνικαῦτα εὐθύς· ἡ δὲ τῇ Ῥωμαίων φωνῇ γεγραμμένη, πρὸς Σολομῶντα τὸν ἐνδοξότατον τῶν ἐν Ἀφροῖς ἱερῶν ἡγούμενον πραιτωρίων, καλάνδας ἀπριλλίας προσγεγραμμένας ἔχει. διόπερ οὐδὲ ἡ τῇ ἑλλάδι φωνῇ γραφεῖσα γέγονε παραχρῆμα καταφανής, ἕως καὶ ἡ τῇ Ῥωμαίων συντεθεῖσα γλώττῃ γέγονέ τε καὶ ἐξεπέμφθη. ἀμέλει δὲ καὶ ἡ πρὸς τοὺς ἐνταῦθα ἐνδοξοτάτους ὑπάρχους τῶν ἱερῶν ἡμῶν πραιτωρίων γεγραμμένη (φαμὲν δὴ τὴν ἑλληνίδα) κατὰ τὸν μάϊον μῆνα ἐνεφανίσθη τε τῷ αὐτῶν δικαστηρίῳ, καὶ ἐξεπέμφθη. Θεσπίζομεν τοίνυν δεῖν τὴν αὐτῆς νομοθεσίαν, τὴν περὶ τοῦ μέτρου τῆς ἐνστάσεως τῶν παίδων διαλεγομένην, κρατεῖν ἐνταῦθα μὲν ἀπὸ τῶν τότε καλανδῶν μαΐων, ἵνα τὴν δίμηνον αὐτῇ φυλάξωμεν· ἐν δὲ δὴ ταῖς ἐπαρχίαις, ἐξ ὅτου γέγονεν αὐτῇ καταφανής· κἀκεῖσε τῆς διμήνου μετὰ τὴν ἐμφάνισιν φυλαττομένης. εἰ δὲ οὔπω καὶ νῦν ἐν πάσαις ταῖς ἐπαρχίαις ἐξεπέμφθη, ὅτι τάχιστα αὐτήν τε καὶ τὰς ἄλλας, αἵπερ ἴσως οὐκ ἐξεπέμφθησαν ἔτι, ἢ καὶ ὕστερον ἡγουμένου θεοῦ παρ᾽ ἡμῶν τεθεῖεν, ἐκπεμφθῆναί τε καὶ ἐκπέμπεσθαι· ἐφ᾽ ᾧ τε τὰς ἡμετέρας διατάξεις ἐν ταῖς μητροπόλεσι τῶν ἐθνῶν γενέσθαι τε καὶ γίνεσθαι καταφανεῖς. τοὺς δὲ τῶν ἐπαρχιῶν ἡγουμένους αὐτὰς στεῖλαί τε αὐτὰς καὶ στέλλειν ἐν πάσαις ταῖς πόλεσι ταῖς ἐφ᾽ ἑκάστῃ ἐπαρχίᾳ τεταγμέναις· ὥστε μηδένα δὲ λοιπὸν προφασίζεσθαι μηδεμίαν ἄγνοιαν, ὡς τό γε πρώην ἅπασι δικαίαν ἔχει συγγνώμην. καὶ κρατείτωσαν αἱ τῶν τελευτησάντων διατυπώσεις, κἂν εἰ ἐν ἄστει γεγόνασι, καθάπερ αὐτὰς ἐκεῖνοι

Universidad Carlos III de Madrid. Biblioteca

πεποίηνται· κἂν εἰ, κατὰ τὴν προτέραν κρατοῦσαν νομοθεσίαν, γράμμασιν οἰκείοις οὐκ ἔγραψαν τὰς τῶν κληρονόμων προσηγορίας, ἢ τοῖς μάρτυσιν αὐτοὺς οὐκ ἐποιήσαντο καταφανεῖς, ἢ τετρούγκιον ἀλλ' οὐ πλεῖον καταλελοίπασι τοῖς παισίν. οὐ γὰρ ἀνατρέπεσθαι, καθάπερ εἰπόντες ἔφθημεν, τὰς τῶν τελευτώντων βουλόμεθα διατυπώσεις, ἀλλὰ καὶ κυρίας ταύτας διὰ πάντων ἀποφαινόμεθα. ὥστε κἂν εἰ σύνεγγυς ἐγράφησαν αἱ διαθῆκαι μετὰ τὴν θέσιν τοῦ νόμου, οὔπω δὲ ἔτυχον αἱ διατάξεις γενόμεναι καταφανεῖς, ἐπιζησάντων δὲ ἴσως τῶν διαθεμένων οὐκ ἠμείφθησαν, μενέτωσαν καὶ οὕτως αἱ ἐνστάσεις αἱ τὴν ἀρχὴν κατὰ τοὺς τότε φανεροὺς ὄντας γενόμεναι νόμους, τὴν οἰκείαν ἰσχὺν ἔχουσαι, καὶ οὐκ ἐγκαλούμεναι διότι καθ' ὃν ἐπεβίωσαν χρόνον ἐκεῖνοι, ταύτας οὐκ ἠμείψαντο. οὐ γὰρ πάντοτε ἐστὶν ἐφ' ἡμῖν, οὐδὲ ἀεὶ πᾶσι καιρὸς γίνεται διαθήκης· αἰφνίδιόν τε πολλάκις ἐπίασιν ἀνθρώποις τελευταί, τῆς τοῦ διατίθεσθαι τούτους ἐξουσίας ἀφαιρούμεναι. ὥστε τὸ ἐξ ἀρχῆς γενόμενον ὀρθῶς ἐκ τοῦ μὴ ἀμειφθῆναι, προσήκειν οὐχ ἡγούμεθα ὕστερον ἐλαττοῦσθαι καθ' ὁτιοῦν, ἢ ἀνατρέπεσθαι, ἀλλ' ἐν ἀρραγεῖ μένειν· τῆς τότε παραστάσης τῷ διαθεμένῳ γνώμης ἰσχυρᾶς διαμενούσης. εἴη γὰρ ἂν τῶν ἀτόπων, τὸ γενόμενον ὀρθῶς ἐκ τοῦ μὴ γεγονότος ὕστερον ἀνατρέπεσθαι. συνελόντας τοίνυν εἰπεῖν, λαμβανέτωσαν οἱ παῖδες τὸ καταλελειμμένον αὐτοῖς, εἰ οὕτω τύχοι, παρὰ τῶν πατέρων τετρούγκιον, ἐκ τῶν οὔπω γενομένων διαθηκῶν, ἢ πρὸ τῆς τοῦ νόμου θέσεως, ἢ μετὰ τὴν θέσιν τοῦ νόμου, πρὶν δὴ τοῦτον παρὰ τοῖς ἄρχουσιν ἐμφανῆ καταστῆναι. εἰ δὲ καὶ προσδέοιτο ταῖς διαθήκαις τὸ χρεῶσαι τὸ λεῖπον αὐτοῖς ἀναπληρωθῆναι, πρὸς τὸ τότε κατὰ τοὺς νόμους ἐποφειλόμενον, τοῦτο λαμβάνεσθαι κατὰ τοὺς παλαιοὺς νόμους. ὥστε εἴπερ ἐλλείπει τι τῷ τετρουγκίῳ, εἰς ἐκεῖνο τὴν ἀναπλήρωσιν γίνεσθαι, ἀλλ' οὐκ εἰς τὸ τετράουγκιον, τὸ ὕστερον μὲν νομοθετηθέν, οὔπω γε μὴν τότε γνωσθέν. Τὰ τοίνυν παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, διὰ κηρυγμάτων οἰκείων ἡ σὴ ὑπεροχὴ πᾶσι ποιησάτω φανερά, τοῖς τε ἐπὶ τῆς μεγάλης ταύτης πόλεως, τοῖς τε ἔξωθεν· ὅπως ἂν ἅπασι γένοιτο σαφῆ τὰ παρ' ἡμῶν ἐπὶ τῇ πάντων ἀσφαλείᾳ νομοθετηθέντα.

DAT. K. MAII CONSTANTINOP. IMP. IVSTIN. PP. AVG. ANN. XI. IOHANNE V. C. CONS.

## Περὶ τοῦ μηδένα κτίζειν εὐκτήριον οἶκον, χωρὶς γνώμης τοῦ ἐπισκόπου. καὶ Περὶ τοῦ ἀφορίσαι πρότερον τὰ περὶ τὴν ἐπιμέλειαν καὶ κατάστασιν τοῦ κτιζομένου εὐκτηρίου. καὶ Περὶ τοῦ τοὺς ἐπισκόπους μὴ ἀπολιμπάνεσθαι τῶν ἰδίων ἐκκλησιῶν. καὶ Περὶ ἐκποιήσεως ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων.

## Διάταξις ξζ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΜΗΝΑ ΤΩ ΑΓΙΩΤΑΤΩ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ.

ΚΑΙ τὰ περὶ τῶν ἁγιωτάτων ἐκκλησιῶν πολλοῖς περιλαβόντες νόμοις, ἔτι καὶ ἑτέρου δεόμεθα, πρὸς τὰς ἀνακυψάσας τῶν ὑποθέσεων καὶ αὖθις ἀναφυομένας ἀρκοῦντος. πολλοὶ γὰρ, ὀνόματος ἕνεκεν, πρὸς ποίησιν ἁγιωτάτων ἐκκλησιῶν ὁρμῶσιν

Universidad Carlos III de Madrid. Biblioteca

εἶτα ταύτας οἰκοδομησάμενοι, οὐκ ἔτι φροντίδα τίθενται τοῦ καὶ δαπάνην αὐταῖς ἀφορίσαι πρέπουσαν εἴς τε λυχνοκαΐαν, εἴς τε τὴν τῶν προσεδρευόντων ἀποτροφήν, καὶ τὴν ἱερὰν λειτουργίαν· ἀλλὰ καταλιμπάνουσιν αὐτὰς ἐν γυμνοῖς οὔσας οἰκοδομήμασι, καὶ ἢ καταλυομένας, ἢ πάσης ἱερᾶς λειτουργίας ἐστερημένας. Θεσπίζομεν τοίνυν, πρὸ πάντων μὲν ἐκεῖνο γίνεσθαι, ὥστε μηδενὶ παρρησίαν εἶναι μηδὲ μοναστήριον, μηδὲ ἐκκλησίαν, μηδὲ εὐκτήριον οἶκον ἄρχεσθαι οἰκοδομεῖν, πρὶν ἂν ὁ τῆς πόλεως θεοφιλέστατος ἐπίσκοπος παραγενόμενος εὐχήν τε ἐν τῷ τόπῳ ποιήσαιτο, καὶ σταυρὸν πήξαιτο, δημοσίαν ἐκεῖσε πρόσοδον ποιησάμενος, καὶ τὸ πρᾶγμα φανερὸν ἅπασι καταστήσοι. πολλοὶ γὰρ ὑποδυόμενοι κτίζειν δῆθεν εὐκτηρίους οἴκους, τὰς ἑαυτῶν θεραπεύουσι νόσους, οὐκ ὀρθοδόξων ἐκκλησιῶν κτίσται γινόμενοι, ἀλλὰ σπηλαίων ἀτόπων. Ἔπειτα μὴ ἄλλως αὐτὸν ἐκκλησίαν ἐκ νέου οἰκοδομεῖν, πρὶν ἂν διαλεχθείη πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον, καὶ ὁρίσοι τὸ μέτρον ὅπερ ἀφορίζει πρός τε τὴν λυχνοκαΐαν καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ οἴκου συντήρησιν, καὶ τὴν τῶν προσεδρευόντων ἀποτροφήν· καί, εἴπερ αὐτάρκως ἔχειν δόξειε, ποιεῖσθαι αὐτὸν πρότερον δωρεὰν τῶν ἀφορίζεσθαι μελλόντων, οὕτω τε τὸν οἶκον οἰκοδομεῖν. Εἰ μέντοι γε οὐκ ἀρκοίη μέν τις πρὸς τοῦτο, ὀνόματος δὲ ἴσως ἐπιθυμοίη τοῦ καὶ αὐτὸς κτίστης ἐκκλησίας καλεῖσθαι, βούλοιτο δὲ τοιοῦτο πρᾶξαι, πολλαὶ δὲ ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει καὶ ἐν ταῖς ἐπαρχίαις ἐκκλησίαι τυγχάνουσι, τὸν προσήκοντα μὲν λειτουργούμεναι τρόπον, κινδυνεύουσαι δὲ καταπεσεῖν ὑπὸ παλαιότητος, ἢ καὶ σμικραὶ καθεστῶσαι, καὶ ἀκοσμότεραι παρὰ τὴν ἐπιθυμίαν τῶν ταύταις ἐγχωριώτων· καὶ ἐξέσται αὐτῷ μίαν τῶν τοιούτων ἐκκλησιῶν ἀπολαβόντι, ταύτην οἰκοδομῆσαι, κἀνταῦθα γνώμῃ τοῦ θεοφιλοῦς τῶν ὀρθοδόξων ἐπισκόπου τοῦ πράγματος γινομένου. οὕτω γὰρ ἔσται αὐτῷ καὶ ἱεροῦ οἴκου κτίστην κληθῆναι, καὶ μηδὲν οἴκοθεν προσδαπανῆσαι, τῶν ἐξ ἔθους ἀφωρισμένων ἤδη περὶ τοῦτο δαπανημάτων, ἐπιδιδομένων παρὰ τῶν καὶ πρότερον ταῦτα χορηγούντων. Κἀκεῖνο γε μὴν θεσπίζομεν, ὥστε κατὰ τὸν ἤδη παρ' ἡμῶν φοιτήσαντα νόμον, τοὺς θεοφιλεστάτους ἐπισκόπους ταῖς ἑαυτῶν ἐκκλησίαις προσκαρτερεῖν, καὶ μὴ καταλιμπάνειν μὲν αὐτάς, χρόνον δὲ πολὺν ἐνταῦθα διατρίβειν, καὶ ἀναγκάζειν τοὺς κατὰ χώραν οἰκονόμους δαπάνας αὐτοῖς ἐκπέμπειν ἐκ τῆς ἁγιωτάτης ἐκκλησίας· ἀλλὰ δαπάνας μὲν αὐτοῖς ἐκεῖθεν, ταύτῃ δὲ προσκαρτερεῖν οὐκ ἀνέχεσθαι. Θεσπίζομεν τοίνυν, τοῦ παρ' ἡμῶν ἤδη κειμένου νόμου ἐπὶ τῆς ἑαυτοῦ μένοντος ἰσχύος, εἴπερ ἀπολειφθείη ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς ἐκκλησίας τῆς αὐτοῦ πλείονα χρόνον, μηδεμίαν αὐτῷ στέλλεσθαι δαπάνην ἐκ τῆς χώρας, ἀλλ' ἐκείνην μὲν περὶ πράξεις εὐσεβεῖς καὶ περὶ τὴν ἁγιωτάτην ἐκκλησίαν δαπανᾶσθαι, αὐτὸν δὲ ἐνταῦθα πλανώμενον μὴ καὶ δαπάναις τὴν ἁγιωτάτην ἐκκλησίαν βαρύνειν· προδῆλον ὄν, ὡς εἰ πολὺν χρόνον ἀπολειφθείη, τὰ ἤδη παρ' ἡμῶν ἐπ' αὐτοῖς νομοθετηθέντα κρατήσει. Ἐπειδὴ δὲ ἐτύχομεν ἤδη νομοθετήσαντες ὥστε, εἴ τις ἐν ταῖς ἐπαρχίαις ἐκποίησις ἀκινήτου ἐκκλησιαστικοῦ μέλλοι πράγματος γίνεσθαι, κατὰ δέκρετον ταύτην προϊέναι (καθάπερ ἡ πρώην φοιτήσασα παρ' ἡμῶν λέγει διάταξις) προστίθεσθαι δὲ τὸ δέκρετον μὴ μόνον παρόντος τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς πόλεως, καὶ τοῦ αὐτοῦ κλήρου, ἀλλὰ καὶ τοῦ τῆς μητροπόλεως ἐπισκόπου· οὐ μὴν ἐκεῖνο προσνενομοθέτηται, ὥστε εἴπερ ὁ τῆς μητροπόλεως ἁγιώτατος ἐπίσκοπος μέλλοι πωλεῖν, ἤτοι οἱ τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτοῦ εὐλαβέστατοι οἰκονόμοι, τί δέοι γίνεσθαι· καὶ τοῦτο προστι-

Universidad Carlos III de Madrid. Biblioteca

θεμένην, ὥστε δύο ἐκ τῆς ὑπ' αὐτὴν συνόδου τῶν θεοφιλῶν ἐπισκόπων, οὓς ἂν ἕλοιτο, τούτοις παραγίνεσθαι, καὶ τῆς ἄλλης ἁπάσης παρατηρήσεως φυλαττομένης τῆς ἤδη παρ' ἡμῶν νομοθετηθείσης, ὃ τῇ παρουσίᾳ τῶν δύο θεοφιλῶν ἐπισκόπων προστεθῆναι, ἵνα καθ' αὑτὸν δοκοίη μετὰ τῆς ἑαυτοῦ συνόδου τὸ πρᾶγμα πράττειν· καὶ ὥσπερ αὐτὸς τὸ πρᾶγμα ποιεῖ πιστὸν καὶ αὔταρκες τῷ ὑπ' αὐτὸν τεταγμένῳ παραγινόμενος, οὕτω καὶ αὐτῷ ἡ ὑπ' αὐτὸν παραγινομένη σύνοδος διὰ δύο τῶν θεοφιλῶν ἐπισκόπων δόξειεν τὸ πρᾶγμα ποιεῖν ἀσφαλές, τὴν ἐκ τῆς ἱερᾶς ταύτης συνόδου προσλαμβάνον μαρτυρίαν. Τοῦτον δὲ ἡμῶν τὸν νόμον πρός τε τὸν θρόνον τῆς σῆς μακαριότητος, πρός τε τοὺς λοιποὺς ἁγιωτάτους πατριάρχας καταπεμπόμενον αὐτοὶ διὰ γραμμάτων οἰκείων τοῖς ὑφ' ὑμᾶς μητροπολίταις ποιήσητε φανερόν· οἱ δὲ δῆλον καταστήσουσι τοῖς ὑπ' αὐτοὺς ἐπισκόποις, ὥστε μηδὲν διαλαθεῖν τῶν παρ' ἡμῶν διαταχθέντων. DAT. K. MAII CONSTANTINOP. IMP. DN. IVST. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

## Ὥστε τὴν διάταξιν τοῦ εὐσεβεστάτου βασιλέως, τὴν ἐπὶ ταῖς διαδοχαῖς τῶν ταμειακῶν κερδῶν τὰ ἐξ ἀπαιδίας εἰσάγουσαν κέρδη, κρατεῖν ἐν τοῖς μετὰ τὴν διάταξιν συμβᾶσι φάκτοις, ἐπὶ δὲ τοῖς πρὸ αὐτῆς τὴν Λέοντος διάταξιν χώραν ἔχειν.

## Διάταξις ξη.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΙΣΜΕΝ τὴν Λέοντος τοῦ τῆς εὐσεβοῦς μνήμης διάταξιν, τὴν γεγραμμένην ὑπὲρ τῶν εἰς δευτέρους ἀφικνουμένων γάμους εἴτε ἀνδρῶν εἴτε γυναικῶν, καὶ τὸ ἐκ τοῦ γάμου κέρδος τοῖς ἐξ ἐκείνου τοῦ γάμου παισὶν ὁσίως φυλάττουσαν, καὶ μόνης τῆς χρήσεως τὸν κερδάναντα κύριον ἀποτελοῦσαν, τὴν δεσποτείαν δὲ ἐκείνοις τηροῦσαν· ὡς εἴγε οἱ παῖδες καὶ ἔγγονοι τελευτήσαιεν, οὐκ ὄντος τὸ λοιπὸν οὐδενὸς τοῦ δι' ὃν ὁ τοῖς δευτέροις ὁμιλήσας γάμοις τῆς δεσποτείας ἐστέρηται, μένειν βουλομένην ἀναφαίρετόν τε καὶ ὁλόκληρον παρὰ τῷ κερδάναντι καὶ τὴν ἐκ τῆς δεσποτείας ὠφέλειαν. Ταύτην ἡμεῖς ἔναγχος ἐπηνωρθώσαμεν, ἄλλα τε διατυπώσαντες, καὶ βουλόμενοι τοὺς κληρονόμους τῶν τελευτησάντων παίδων ἢ ἐγγόνων (εἴτε γονεῖς εἶεν, εἴτε ἕτεροί τινες) ἔχειν ἐκεῖθεν τινὰ βοήθειαν, μόνου τοῦ ἀπὸ τελευτῆς ἐξ ἀπαιδίας συμφώνου μένοντος καὶ κατὰ δεσποτείαν παρὰ τῷ κερδάναντι· τοῦ λοιποῦ δὲ ἐπὶ τοὺς κληρονόμους τῶν τελευτησάντων παίδων ἢ ἐγγόνων ἰόντος, κατ' οὐδὲν ὑφ' ἡμῶν τοῦ τῆς χρήσεως λόγου καινισθέντος. Ταῦτα τοίνυν καὶ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον κρατεῖν βουλόμεθα, πλὴν εἰ μὴ ἔτυχον οἱ παῖδες, πρὶν ἢ τεθῆναι τὴν ἡμετέραν διάταξιν, τετελευτηκότες. ἐπειδὴ γὰρ ἔφθη τὸ κέρδος ὁλόκληρον ἤδη προσηκόμενον τῷ τοῖς δευτέροις ὁμιλήσαντι γάμοις, τῶν παίδων πρὸ τοῦ νόμου τελευτησάντων, οὐκ ἂν ὁ ἡμέτερος νόμος ἐκεῖνα περιεργάζοιτο ἅπερ ὁ προλαβὼν νόμος Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως ὑπὸ τὴν ἑαυτοῦ πεποίηκεν ἐξουσίαν. ὥστε οὐ μό-

Universidad Carlos III de Madrid. Biblioteca

νον παίδων ἢ ἐγγόνων οὐχ ὑπόντων, ἀσφαλῶς ἕξουσιν ἅπερ ἐκέρδαναν, ἀλλ' ἤδη κἂν εἴ τι τούτων παρ' ἑτέροις ἐστί, κατὰ τὸν δεσπόταις πρέποντα τρόπον ἐκδικήσουσι.

Ταῦτα τοίνυν νόμῳ βραχεῖ περιστείλαντες, τὰς τοιαύτας ἀμφισβητήσεις ἀνῃρέσαμεν, ἵνα μὴ διηνεκῶς ὑπὸ τῶν αἰτιωμένων ἐνοχλοίμεθα, ἀλλὰ νόμῳ ταῦτα ἐναποθέμενοι κοινῷ, τῶν τοιούτων ἀπαλλαγείημεν ὄχλων, ὃ περὶ τῆς ἡμετέρας νομοθεσίας σχῆμα φυλάττεσθαι βουλόμενοι τὸ περὶ ταύτης εὐηργετήμεθα. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ κατὰ τοῦτο ἡμῖν παραστάντα τὸν τρόπον ἅπασι φανερὰ δι' οἰκείων κηρυγμάτων καὶ προστάξεων καταστησάτω. DAT. VIII. K. IVN. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V.C. CONS.

## Περὶ τοῦ πάντας ὑπακούειν καὶ πείθειν τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν καὶ ἐπὶ ἐγκλήμασι καὶ ἐπὶ χρήμασι· κἀκεῖ τὰς ὑποθέσεις ἐξετάζεσθαι, μηδενὸς ἐξῃρημένου ἀπὸ προνομίου τινός, χωρὶς θείου πραγματικοῦ τύπου. Διάταξις ξθ.

ΑΥΤΟΚΡΑΤΩΡ ΙΟΥΣΤΙΝΙΑΝΟΣ ΑΥγουστος Κωνσταντινουπολίταις.

ΜΙΑΝ εἶναι πασῶν τελεωτάτην ἀρετὴν ὑποληπτέον ἐν ἀνθρώποις τὴν τὰ δίκαια πᾶσι βραβεύουσαν, φαμὲν δὴ τὴν τοῦ πράγματος ἐπώνυμον δικαιοσύνην. καὶ γὰρ ἑκάστη τῶν ἄλλων ἀρετῶν εἰ μὴ παρακολουθοίη τὰ ταύτης ἀγαθά, γένοιτο ἂν οὐδὲν τῶν προσηκόντων. τοιγαροῦν οὐδὲ ἀνδρείαν τὴν μὴ μετὰ δικαιοσύνης ἐπαινέσομεν. καίτοιγε ἡ πάτριος φωνὴ τὴν ἐν ὅπλοις ἰσχὺν ἀρετὴν ὀνομάζει μόνην· εἰ δέ τις αὐτῆς τὸ δίκαιον ἀφέλοιτο, πλημμελημάτων ἀφορμὴ μόνον, οὐ μὴν τινὸς γένοιτο ἂν τῶν βελτιόνων. ταύτην ἐν ταῖς ἡμετέραις ἐπαρχίαις ὁρῶντες παρεωραμένην, νόμῳ θεραπεύοντι τεόν, ἀναρρῶσαι καὶ πρὸς ἰσχὺν πρέπουσαν ἀναγαγεῖν ᾠήθημεν χρῆναι. πολλοὶ γὰρ οἱ μὲν γράμματα θεῖα, οἱ δὲ προνόμια, οἱ δὲ πραγματικοὺς τύπους, οἱ δὲ προστάξεις ἀρχικάς, οἱ δὲ ἄλλας ἐξ ἄλλων εὑρίσκοντες προφάσεις, ἑαυτοῖς καταπράττουσι τὸ πλημμελεῖν μὲν ἐν ταῖς ἐπαρχίαις, ἔξω δὲ ἐκείνων δικάζεσθαι προσποιεῖσθαι. ὁ γὰρ ἐπί τινος τόπου παθὼν κακῶς, ἤ τι τῶν οἰκείων ἀποβαλών, ἢ περὶ ὅρων γῆς δικαζομένης ἢ περὶ δεσποτείας, ἢ περὶ νομῆς, ἢ περὶ ὑποθήκης, ἢ περί τινος ἄλλου, πῶς ἂν ἰσχύσειεν ἑτέρῳ τόπῳ τὰς ἀποδείξεις ὧν ἔπαθε παρασχεῖν; οἱ γὰρ ταῦτα πράττοντες, δύναμιν ἐνδεικνύμενοι μόνην καὶ ἰσχὺν οὐ τῷ δικαίῳ πιστεύουσαν, τὰ τοιαῦτα τεχνάζουσι. καὶ ταῦτα ἄνθρωποι δρῶσιν, ὡς διηνεκῆ τὴν δύναμιν ἕξειν πιστεύοντες, καὶ οὐκ ἀποβλέπουσιν εἰς τὰ πολλὰ καὶ μυρία παραδείγματα· ὅτι περ ὀψὲ καὶ μόλις καὶ ἐν προσώποις εὐαριθμήτοις ἐκ δυνατῶν εἴδομεν προϊόντας δυνατούς, καὶ ἐκ πλουσιωτάτων πλουτοῦντας. τὸ δὲ ἐπίπαν σχεδὸν ἐκ μὲν δυνατῶν προΐασιν ἀσθενεῖς, ἐκ πλουσιωτάτων δὲ πένητες, τῆς τῶν πατέρων ἀδικίας τοῖς ἐξ αὐτῶν κατακολουθούσης. καὶ οὐκ ἐννοοῦσιν οὐδὲ λογίζονται ὡς ὅσπερ αὐξεῖ δῆθεν ὑπὲρ ἑαυτῶν μηχανῶνται ταῖς δυνάμεσι χρώμενοι, τοῦτ' ἴσως κατὰ τῶν γινομένων ἐξ αὐτῶν πράττουσιν, οὐ τῆς αὐτῆς ἐκείνοις ἐπακολουθούσης δυνάμεως. Ταῦτα ἐννοήσαντες, τὸν παρόντα θεῖναι νόμον ᾠήθημεν χρῆναι· καὶ προσαγ-

Universidad Carlos III de Madrid. Biblioteca

ρεύομεν πᾶσι τοῖς ἐν ταῖς ἐπαρχίαις οἰκοῦσιν, ὁπόσοι τῶν ἡμετέρων κατακεκλήρωνται σκήπτρων ἐπὶ τῆς ὑπηκόου πάσης, τῆς τε εἰς ἀνίσχοντα βλεπούσης, τῆς τε πρὸς δυόμενον ἥλιον, τῆς τε ἑκατέρωθεν οὔσης· ὥστε ἕκαστον ἐφ᾽ ἧς ἐπαρχίας πλημμελεῖ, ἢ ἐφ᾽ ἧς χρημάτων ἢ ἐγκλημάτων ὑπεύθυνος γίνεται (εἴτε περὶ γῆς ὁρίων, εἴτε περὶ δεσποτείας, εἴτε περὶ νομῆς, ἢ ὑποθήκης, ἢ περὶ ἑτέρας οἱασδήποτε προφάσεως) ἐκεῖσε καὶ τὰς εὐθύνας ὑπέχειν. τοῦτο δὴ τὸ καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις ποικίλως μὲν, εἰρημένον δὲ ὅμως, εἰ καὶ μὴ καθαρῶς καὶ ὡς ἡμεῖς αὐτὸ διενοήθημεν. ἀλλὰ μηδὲ ζητεῖν ὑπερορίᾳ πλεονεκτεῖν. εἴτε γὰρ μεγάλα τὰ ἁμαρτήματα ἢ τὰ συναλλάγματα καθέστηκε, χρὴ πᾶσι τρόποις ἐπ᾽ αὐτοῖς καὶ προσαγγελίαν εἶναι καὶ γραφὴν, εἰ δεηθεῖεν, καὶ ἐξέτασιν ἐπιχώριον, διὰ τὸ πρόχειρον τῶν ἐλέγχων· εἴτε ἐπὶ σμικροῖς τις ὁμοίως πλημμελοίη, μεῖζον ἔτι τὸ ἁμάρτημα γένοιτο εἰ μηδὲ ἐπὶ τοῖς βραχέσι τῶν δικαίων ἀπολαύσειεν, ἀλλ᾽ ἀναρμένοι γίνεσθαί τε ἐπ᾽ ἀλλοδαπῆς χώρας, ἐκεῖσέ τε αὐτὸν ἄγειν, καὶ περὶ τούτων δικάζεσθαι, ὅν γε οὐδὲ παρόντα, οὐδὲ ἐπὶ τῆς χώρας ἴσως, διὰ τὴν ἰσχὺν τὴν ἐκείνου ἢ διὰ τὴν αὐθεντίαν τὴν αὐτοῦ, μετελθεῖν δύναται προσηκόντως. τί γὰρ ἂν εἴη σχετλιώτερον, ἢ τὸν ἀδικηθέντα τυχὸν ἢ περὶ ἀφαίρεσιν βοὸς, ἢ ἵππου, ἢ τῶν ὑποζυγίων τινὸς, ἢ βοσκημάτων, ἢ (ἵνα τοὐλάχιστον εἴπωμεν) κατοικιδίας ὄρνιθος· τοῦτον ἀναγκάζεσθαι μὴ καθ᾽ ἣν ἀφήρηται χώραν δικάζεσθαι, ἀλλ᾽ ἀλλαχόσε τρέχειν, κἀκεῖσε τὰς ἀποδείξεις ὧν ἔπαθεν ἀπαιτεῖσθαι, καὶ ἢ πολλαπλασίαν ὑπομένειν τὴν δαπάνην τῆς τοῦ πράγματος ἀποτιμήσεως, ἢ τὴν ἀπορίαν στενάζοντα φέρειν; ἔνθεν ἡμῖν πλῆθος πολὺ τῶν προσιόντων ἐφ᾽ ἑκάστης ἐστί· καὶ τά γε πολλὰ ἐπὶ τοιαύταις αἰτίαις ἐνοχλούμεθα μικρῶν ἕνεκα προφάσεων, αὐτοί τε πολλὰς ὑπομένοντες ὀχλήσεις, ὁρῶντές τε πολὺ μὲν πλῆθος ἀνδρῶν, πολὺ δὲ γυναικῶν ἐκ τῶν οἰκείων τόπων ἐξανισταμένων, καὶ εἰς ταύτην ἀφικνουμένων τὴν εὐδαίμονα πόλιν. ὧν οἱ πλεῖστοι καὶ μεταιτοῦντες καὶ ἐρανιζόμενοι τοῦτο πράττουσιν, ἔστι δὲ ὅτε καὶ τελευτῶσιν ἐνταῦθα. Εἰ μὲν οὖν ἐνδημοῖεν ἄμφω τῇ χώρᾳ, ὅ, τε ἐνάγων, ὅ, τε ἐναγόμενος, μηδαμῶς εἰς ἑτέραν ἐπαρχίαν τὸ πρᾶγμα ἕλκεσθαι, μηδὲ εἰς ταύτην τὴν εὐδαίμονα πόλιν, μήτε ἐκ προνομίου τινὸς, μήτε ἐκ κελεύσεως, ἀλλ᾽ αὐτόθι τέμνεσθαι. Εἰ δὲ ὁ μὲν πάρεστιν, ὁ δὲ ἄπεστιν, ὁ δὲ παρὼν ἐκ τῆς αἰτίας τοῦ μὴ παρόντος ἀδικεῖται· ἐν αἰτίαις γινέσθω πᾶσι τρόποις αὐτὸς ὁ τὴν ἀδικίαν πεπραχὼς, εἴτε φροντιστὴς, εἴτε μισθωτὸς, εἴτε ὁστισοῦν τῶν αὐτοῦ εἴη· ἐξέστω δὲ αὐτῷ πρὸς τὸ τῆς ἐπαρχίας διάστημα (κατὰ τὸν νόμον τὸν κοινὸν, τὸν πάλαι κείμενον) προθεσμίαν λαμβάνοντι, μηνύειν τὰ περὶ τούτων ἐκείνῳ πρὸς ὃν τὸ πρᾶγμα ἀναφέρεται). ἀλλ᾽ εἰ μὲν συνεγγὺς ἡ ἐπαρχία καθέστηκεν ἐν ᾗ τοῦτο πράττεται, μιᾶς ἢ δύο μόνων ἐπαρχιῶν ἐν μέσῳ καθεστωσῶν, τεττάρων αὐτῷ μηνῶν διδόσθω προθεσμία· εἰ δὲ μεῖζον εἴη τὸ διάστημα, ἕξ. εἰ δὲ ἐκ Παλαιστίνης τυχὸν ἢ Αἰγύπτου, ἢ ἔκ τινος τῶν ἐθνῶν τῶν πορρωτέρω, μῆνες ὀκτὼ πρὸς τοῦτο ἀρκέσουσιν. εἰ δὲ ἐκ τῶν ἑσπερίων ἐθνῶν, ἢ τῶν ἀρκτώων, ἢ τῶν ἐπὶ Λιβύης, τηνικαῦτα ὁ καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις αὐτάρκης δόξας εἶναι χρόνος ὁριζέσθω· φαμὲν δὲ τὸν τῶν ἐννέα μηνῶν. ὥστε ἐκεῖνον, εἰ μὲν αὐτῷ τῷ μεμηνυκότι πιστεύει, τὴν δίκην ἐκείνῳ ταύτην ἐπιτρέπειν· εἰ δὲ ἀλλοιότερόν τι πρὸς ἐκεῖνον φρονεῖ, ἕτερον γοῦν ἐκπέμπειν τὸν ὑποδεξόμενον πᾶσι τρόποις τὴν ἐναγωγὴν, καὶ πληρώσοντα πάντως τὰ ψηφιζόμενα, εἰ μὴ ἔφεσις ἀκολουθήσειεν, εἴτε ἐπὶ μείζονος, εἴτε ἐπὶ ἐλάττονος αἰτίας. Εἰ δὲ ὁ μὲν μηνύσειεν, ὁ δὲ οὐκ ἐπιτρέψειε, καὶ ὁ τεταγμένος παραδράμοι χρόνος, ὡς

Universidad Carlos III de Madrid. Biblioteca

δὴ κυρίως πράττοντα τὸν ἠτιαμένον καὶ ὑπὲρ τοῦ ἀπόντος προσώπου, καὶ ἄκοντα παραστησάσθω ὁ τῆς ὑποθέσεως ἀκροώμενος παρὰ τὸ οἰκεῖον δικαστήριον, καὶ τὴν δίκην ἐξετάσας, ὡς παρόντος τοῦ τὴν ἐναγωγὴν ὑφισταμένου, καταδικαζέτω καὶ αὐτὸν, εἴπερ ὑπεύθυνος φανείη· καὶ πρός γε ἐκεῖνον τὸν μετὰ τὴν τοιαύτην ὑπόμνησιν ἐκπέμψαι τινὰ κατὰ τὴν χώραν μὴ βουληθέντα, εἴπερ ὅλως ὑπεύθυνος φανείη. καὶ εἰ μὲν εὔπορος εἴη, αὐτὸς ἐκτιννύτω τὰ ἐκ τῆς ψήφου· εἰ δὲ ἀπόρως ἔχοι, καὶ μὴ ἀρκείη πρὸς τὸ πᾶν τῆς καταδίκης, τηνικαῦτα καὶ ἐκ τοῦ ἀπόντος ἀναπληρούσθω τῷ νενικηκότι ἡ ἐπὶ τούτῳ ζημία. Εἰ δὲ οὐδὲ αὐτὸς φανείη ὁ τὸν κύριον τῆς δίκης παραστήσασθαι κελευσθεὶς, ἢ τὸν ὑπὲρ αὐτοῦ νομίμως πράττοντα, τότε καλείσθω μὲν τῇ τοῦ νόμου φωνῇ, μὴ ὑπακούων δὲ, καταδικαζέσθω καὶ ἀπὼν, κατὰ τὸ καλούμενον τῶν ἐρημοδικίων σχῆμα. ὁ γὰρ κατὰ περιπέτειαν ἀπολιμπανόμενος, κατ' οὐδὲν ἂν ἐλάττων τοῦ παρόντος νομισθείη. Εἰ μέντοι ὁ μὲν ἴσως παραγένοιτο, ἢ στείλειε τινὰ, ὁ δὲ κατηγορήσας ἀπολειφθείη, τότε καὶ ἀφιέτω τὸν ἐναγόμενον, καὶ τὰς ζημίας αὐτῷ θεραπεῦσαι τὸν συκοφάντην καταναγκαζέτω. οὕτω γὰρ ἔσονται μέτριοι πάντες, οὕτω τοῦ πλημμελεῖν παύσοιντο, οὕτως οὐχ ἡγήσονται δύνασθαι τὸ πλουτεῖν τοῦ δικαίου κρατεῖν. Καὶ οὐ λέληθεν ἡμᾶς ὡς ἴσως οὐδὲ τοῦτο ἀρκεῖ πρὸς τελειοτάτην τοῦ πράγματος θεραπείαν, τῶν δικαζόντων τοῖς δυνατωτέροις μᾶλλον ἢ τοῖς τὰ δικαιότερα βουλομένοις καὶ ἐπὶ χώρας παραγινομένοις χαριζομένων. ἀλλ' ὅμως ἴσμεν τό γε πλεῖστον τῶν ἀδικημάτων θεραπεύσοντες τῇ νομοθεσίᾳ ταύτῃ· μᾶλλον δὲ, τό γε ἐφ' ἡμῖν, τὸ πᾶν ἔσται τεθεραπευμένον. οἱ γὰρ οὐκ ἄλλως παραδιδόντες τὰς ἀρχὰς εἰ μὴ πρότερον ὅρκον ὑπόσχοιεν οἱ ταύτας παραλαμβάνοντες, ὥστε τὸ δίκαιον ἅπασι κρίνειν, καὶ καθαρὰς φυλάττειν τὰς χεῖρας, οὐδὲν, οἶμαι, μετὰ τὸν παρόντα νόμον, ἑτέρας τινὸς δεησόμεθα προσθήκης· εἴ γε οἱ μὲν δίκαια δικάζουσι, πρὸς τὸν νόμον τε ὁμοῦ καὶ τὸν ὅρκον βλέποντες, ἐξαρπάσει δὲ τῶν ἐπιχωρίων ἀρχῶν τοὺς ἀδικοῦντας οὐδεὶς, οὐδεμιᾷ χρώμενος ἢ προνομίᾳ, ἢ δυνάμει, ἢ τύπῳ. πλὴν εἰ μὴ θεῖος ἡμέτερος πραγματικὸς τύπος, προφάσει δημοσίας αἰτίας προελθὼν, ἀγώγιμον ἐνταῦθα τινὰ γενέσθαι προστάξειεν, ἢ ὁ νόμος ποιοίη· ὁποῖον ἐπὶ τῶν ἐκκλήτων. καίτοι γε καὶ τοῦτο κατὰ τὸ πολὺ μέρος ἐθεραπεύσαμεν, πολλοὺς τῶν μειζόνων ἀρχόντων τῶν ἐν ταῖς ἐπαρχίαις ἐφέσεις καθιστῶντες· ἵνα παρ' ἐκείνοις μᾶλλον τὰ τῆς ἐφέσεως (ὅταν μὴ περὶ μεγίστου τινὸς εἴη τὸ ζητούμενον) ἢ κατὰ ταύτην ἀγωνίζοιτο τὴν εὐδαίμονα πόλιν.

Τοῦτον οὖν ἀναθέντες δικαιοσύνῃ τὸν νόμον, ἔτι μᾶλλον ποιησόμεθα αὐτὸν δικαιότερον, εἰ μηδενὶ συγχωρήσομεν ἔχειν κατ' αὐτοῦ τινὰ προνομίαν, μηδὲ ἐξαιρεῖσθαι τοῦ νόμου τούτου μηδ' ὁποιονοῦν προνόμιον, μηδὲ εἴ τινι τῶν ἁγιωτάτων ἐκκλησιῶν πεφιλοτίμηται, ἢ τινι τῶν εὐαγῶν ξενώνων, ἢ ὅλως τῶν σεβασμιωτάτων οἴκων, ἢ τινι τῶν αὐτῆς τῆς βασιλείας οἴκων, ἢ τοῦ θείου πατριμονίου, ἢ τῶν θείων πριβάτων (ἅπερ εἰκότως μετὰ τὴν ἄνωθεν εἰσὶ τιμὴν δεύτεραι τεταγμέναι) μήτε εἴ τισι τῶν ἀρχόντων, ἢ ἐν δυνάμεσιν ὄντων, ἢ ὅλως τῶν ὑφ' ἡμᾶς τεταγμένων ἀνθρώπων· ἀλλὰ ἅπαντες ὑπακούσειεν τοῦ νόμου, καὶ ὑποκεκλιμένοι τῷ τῆς δικαιοσύνης θεσμῷ, τιμῷεν τε αὐτὸν, καὶ διὰ πάντων ἄγοιεν ἰσχυρόν· μὴ μόνον εἰς ἑαυτοὺς βλέποντες, ἀλλὰ καὶ εἰς τὰς ἐφεξῆς διαδοχάς· καὶ εἰδότες ὡς οὐδὲν σχεδὸν τῶν ἐπὶ γῆς ἐπὶ ταὐτοῦ μένει, ῥεῖ δὲ ἡ φύσις ἀεὶ, εἰς πολλὰς καὶ ἀμηχάνους ἐξελιττομένη τροπάς· ἃς οὐδὲ προειδέσθαι ῥᾴδιον, οὐδὲ προειπεῖν, θεοῦ μόνου, καὶ βασιλέως ἀκολουθοῦντος θεῷ, ταύτας κυβερνᾶν μετρίως τε καὶ ἐπιεικῶς δυναμένου. εἰ δὲ καί τις χρήσαιτο ποτὲ

Universidad Carlos III de Madrid. Biblioteca

θείοις τύποις, εἴτε πραγματικοῖς, εἴτε ἄλλοις, περὶ τοιούτου τινὸς αὐτῷ πεπεισμένοις, ἔσονται παντελῶς ἄκυροι· τῶν ἀρχόντων μεγάλην ἐκτιννυόντων ποινήν, εἴπερ ὅλως προσδέξοιντο. καὶ οὐ τὸ γινόμενον μόνον θεραπευόμενον, ἀλλὰ καὶ τὸ ἐσόμενον. καὶ γὰρ εἰ μετὰ ταῦτα τοιοῦτό τι πραχθείη τισὶ τῶν ἡμετέρων ὑπηκόων, ἢ ἑτέρῳ τινὶ τῶν ἔμπροσθεν ἀπηγορευμένων (ἐν οἷς περιλαμβανόμενον, ὡς εἴρηται, τὰς ἐκκλησίας τὰ εὐαγῆ μοναστήρια, καὶ τοὺς θείους ἡμῶν οἴκους, καὶ τὰ θεῖα πριβάτα, καὶ τὸ θεῖον πατριμόνιον) οὐδὲ οὗτοι παντελῶς κρατήσουσιν. ἔσται δὲ ὁ νόμος οὗτος πανταχόσε τὴν ἑαυτοῦ δικαίως ἐκτείνων ἰσχύν, καὶ ἅμα μὲν τὰ μέλλοντα ἀσφαλῆ καθιστῶν, ἅμα δὲ τὸ παρελθὸν θεραπεύων. Ἴστε τοίνυν ἅπαντες ὑπήκοοι, ὅσους ὁ θεὸς τοῖς τε ἡμετέροις προγόνοις καὶ ἡμῖν δεδώρηται, ὡς ταύτην ὑμῖν δίδομεν τὴν νομοθεσίαν, πᾶσαν ὑμῖν ἀσφάλειαν χαριζόμενοι· καὶ οὔτε ὁδοιπορήσετε μακράν, οὔτε κατὰ τῶν μειζόνων δακρύσετε, οὔτε ἡμᾶς μέμψεσθε ὡς ταῦτα μὴ θεραπεύοντας. ἀλλ' ἕκαστος ἐντεῦθεν ὁρῶν τὴν ἐφ' οἷς ἂν ζημιωθείη τυχὸν ἢ βλαβείη ποινήν, καὶ ταύτην θεραπευομένην βλέπων, τὸν μέγαν τε καὶ ἀγαθὸν ἀνυμνήσει θεόν, τὸν ταῦτα ἡμῖν νομοθετῆσαι καλῶς τε καὶ δικαίως ἐλλάμψαντα. ἔστω δὲ ποινὴ τοῖς ταῦτα ἁμαρτάνουσιν ἢ παριεμένοις ἄρχουσιν, ἥ τε τῆς ἀρχῆς ἔκπτωσις καὶ decem librarum auri ζημία.

Οἱ τοίνυν ἐνδοξότατοι ὕπαρχοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων, οἱ πανταχόσε τοῦ ὑπηκόου καθεστῶτες, τὸν νόμον τοῦτον γινώσκοντες, προθήσουσιν ἐν ταῖς ὑπ' αὐτοὺς διοικήσεσιν, ἐπί τε Ἰταλίας ἁπάσης, ἐπί τε Λιβύης, ἐπί τε τῶν νήσων, ἐπί τε τῆς ἑῴας, καὶ ὅσον ἐν Ἰλλυριοῖς ἐστι. καὶ εἴσονται πάντες ὅπως αὐτῶν κηδόμεθα, τῷ τοσαῦτα ἡμῖν παρασχόντι θεῷ προσάγοντες τὸν νόμον, ὃς μεγάλην ἡμῖν τὴν ὑπὲρ ἑαυτῶν ἀπολογίαν δώσει, τοιαῦτα προφάσει τῆς τῶν ὑπηκόων σωτηρίας νομοθετήσασι.

Proponatur Constantinopoli. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

## Περὶ βουλευτῶν, ὥστε αὐτοὺς τότε τιμῆς præfectoriαι ἐπιλαβομένους, ἐλευθεροῦσθαι βουλῆς, ὅτε ἔμπρακτον ταύτην λάβοιεν. Διάταξις ο.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΠΟΛΛΑ τῶν ἤδη νομοθετηθέντων καταρραθυμηθέντα τέ καὶ οὐ ῥᾳδίως πολιτευσάμενα, παντελῶς ἔδοξεν ἀνομοθέτητα καθεστάναι. ἴσμεν γὰρ ὡς τὸ ἀρχαῖον ἦν τινος ὑπαρχότητος σχῆμα, ἣν honorariαν ἐκάλουν, κωδικίλλων ἐκ τῆς βασιλείας ἐπ' αὐτῇ παρεχομένων. ταύτην δὲ οὕτως ὠνόμαζον ὡς οὐδενὸς ἑτέρου πλὴν ἢ ψιλῆς τιμῆς τοῖς ταύτης ἠξιωμένοις παρεχομένης, ἥτις τοὺς βουλευτὰς οὐκ ἀπήλλαττε τύχης βουλευτικῆς, εἰ μή τις αὐτὴν ἐν αὐτῷ τῷ ἔργῳ διοικήσαιτο. καὶ ὥσπερ ἐπὶ τῶν ἐνδοξοτάτων στρατηλατῶν ὁρῶμεν ὡς οὐκ ἄν τις οὐδὲ ἐκ στρατηγίας ἀπαλλαγείη τύχης βουλευτικῆς, εἰ μὴ ταύτην ἔργῳ πράξειε· (καὶ γὰρ δὴ καὶ τὰς στρατηλασίας, præfectorias εἶναι οἱ ἡμέτεροι λέγουσι νόμοι· οἱ δὲ ψιλοὶ τῆς στρατηλασίας κωδίκιλλοι μόνην παρέχουσιν ἀξίαν, τύχης οὐκ ἐλευθεροῦντες) οὕτω καὶ

ἐπὶ

Universidad Carlos III de Madrid. Biblioteca

ἐπὶ ταύτης τῆς ἐπαρχότητος, εἰ μέλλοι τις ἐλεύθερος τοιαύτης γίνεσθαι τύχης, ἀνάγκη τοῦτον αὐτῇ τῇ ἀρχῇ παραγγείλαντα, τὴν τῆς βουλῆς δεσμὸν περὶ ἐκείνης ἐκλυθῆναι. ἀνανεούμενοι τοίνυν τὸν τοιοῦτον νόμον, θεσπίζομεν, εἴ ποτε δόξειε τῇ βασιλείᾳ τιμῆσαι βουλευτὴν, εἰ μὲν ὥστε καὶ ἀπαλλάξαι τῆς τύχης, διδόναι αὐτῷ σύμβολα τῆς ἀρχῆς, καὶ παρασκευάζειν αὐτὸν ἐπὶ τῶν τοιούτων γινόμενον θρόνων (ἢ τῆς πολιαρχίας τῆς ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῇ νέᾳ δὴ ταύτῃ τῇ καθ' ἡμᾶς, εἴτε ἐπὶ τῶν πραιτωριανῶν βημάτων, τῶν τε τῆς ἑῴας, τῶν τε τῆς ἑσπέρας, τῶν τε τῆς Λιβύης, καὶ μὴν καὶ τῶν ἐπὶ τῆς Ἰλλυρίδος· ἐν γὰρ ἀπολύτως ὑφ' ἡμᾶς πεποίηκεν ὁ θεός) καὶ οὕτω τῆς ἐλευθερίας ἀπολαῦσαι· ὥστε μεγάλης αὖθις ἠξιωμένους τιμῆς, ἀπήνῃ τε ἐποχουμένους, καὶ βοώντων κηρύκων ἀκούοντας, καὶ πρός γε τῶν δικαστικῶν ἐπιβαίνοντας θρόνων, τῆς τοιαύτης τύχης ἐλευθέρους καθεστάναι. Εἰ δὲ μόνης αὐτοῖς μεταδοῦναι βουληθείη τιμῆς, ποιεῖσθαι μὲν κωδικίλλους, καὶ τούτους ἐπιδιδόναι· τοσοῦτον δὲ ἰσχύειν τὴν τοιαύτην τοῦ βασιλέως δόσιν, ὥστε αὐτὸν τετιμημένον μὲν, καὶ τῆς μεγάλης βουλῆς μέρος εἶναι δοκεῖν· οὐ μὴν οὐδὲ τῆς ἐπιχωρίου βουλῆς, οὐδὲ τοῦ κατ' αὐτὴν λευκώματος ἀπαλλάττεσθαι, ἀλλὰ μένειν ἐπὶ τῆς ἀρχαίας τύχης, μόνην κερδάναντα τὴν τιμήν· καὶ οὕτω χάριν εἰδότα θεῷ τε καὶ βασιλείᾳ, ὅτι μετέστησεν αὐτὸν ἐπὶ τὰ κάλλιω, τῆς ἔμπροσθεν χθαμαλότητος ἀπαλλάξασα. καὶ ἔστω καὶ τοῦτο προσθήκη τῶν βασιλικῶν γερῶν, οὐδὲ τὸ δημόσιον ἐλαττοῦσα, οὐδὲ τύχης οὐδὲ τῶν συνήθων αὐτῇ λειτουργημάτων ἀπαλλάττουσα τὸν βουλευτὴν, καὶ τῷ ταύτης ἠξιωμένῳ τὴν τότε παροῦσαν αὔξουσα τύχην· καὶ ἀποφαίνουσα σεμνότερον, καὶ τῶν ἄλλων βουλευτῶν κατὰ τὴν ἀξίαν προὔχοντα μόνην. Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ φυλάττειν σπευσάτω, εἰδυῖα ὡς οὔτε τοὺς βουλευτὰς ἠλαττώσαμεν, καὶ σεμνοτέρους αὖθις τοῖς ὅλοις ἀπεφήναμεν. ὥστε εἴσονται ταῦτα αἱ πόλεις διὰ κηρυγμάτων τῶν σῶν, ὥστε τοὺς ἐν αὐταῖς βουλευτὰς, ταῦτα γινώσκοντας, τὴν ἡμετέραν εἰκότως εὐφημεῖν βασιλείαν. DAT. KAL. IVN. CONSTANT. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

Ὥστε τοὺς ἰλλουστρίους ἐν τοῖς χρηματικοῖς δι' ἐντολέων πάντως λέγειν τὰς δίκας, καὶ ἐπὶ τοῖς iniuriarum δὲ ἐγκληματικῶς, κατὰ τὸ δεδομένον αὐτοῖς προνόμιον· τοῖς δὲ λαμπροτάτοις ἐξεῖναι καὶ δι' ἑαυτῶν καὶ δι' ἐντολέων λέγειν τὰς χρηματικὰς δίκας. Διάταξις οα.

## Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, ὑπάτῳ ὀρδιναρίῳ, καὶ πατρικίῳ.

ΟΠΟΣΑ προσίασι μὲν δήθεν τιμῆς ἕνεκεν καὶ σχήματος κρείττονος, τὸ δὲ ἐντεῦθεν ἐκβαῖνον, οὐ τιμὴν ἀλλ' ἴσως τινὰ ζημίαν ἐπάγει, ταῦτα καλῶς ἔχειν ἡγούμεθα βραχεῖ θεραπεῦσαι νόμῳ. εἴρηται γάρ τισι τῶν διατάξεων, ὥστε μηδενὶ



Universidad Carlos III de Madrid. Biblioteca

τῶν λαμπροτάτων ἐξεῖναι δι᾽ ἑαυτοῦ δίκην ἀγωνίζεσθαι, δι᾽ ἐντολέων δὲ πάντως. ἀλλὰ τοῦτο μὲν ἡ παλαιότης ἐπὶ τῇ τῶν ἀξιωμάτων ἔγραψε τιμῇ· πολλοὺς δὲ ὁρῶμεν ἀξιωμάτων μὲν τυχόντας, καὶ τοῖς λαμπροτάτοις ἐγγεγραμμένους, ἢ κόμησιν, ἢ τριβούνοις, ἢ εἴ τινες ἄλλοι καθεστᾶσι τοιοῦτοι· οὐσίας δὲ μετρίας κυρίους, ὥστε παντελῶς μὴ ἰσχύειν πρὸς ἐντολέως προβολὴν, καὶ τὴν διὰ τοῦτο δαπάνην. Θεσπίζομεν τοίνυν, ἄχρι μὲν τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων τοῦτο κρατεῖν, καὶ πάντως αὐτοὺς δι᾽ ἐντολέως τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας, καὶ μὴν καὶ τὴν iniuriarum δι᾽ ἐντολέως κατὰ τὸν ἐγκληματικὸν τρόπον κινεῖν, κατὰ τὸ δεδομένον αὐτοῖς ἐπὶ ταύτης προνόμιον· ὥστε μὴ ἀναγκάζεσθαι ἢ συγκαθῆσθαι τοῖς ἄρχουσιν ἐν ᾧ δικάζουσιν, ἢ παρεστάναι πάλιν, οἷα δικαζομένους. ἑκατέρωθεν γὰρ τὸ πρᾶγμά ἐστιν ἐπισφαλὲς, ἢ τῶν ἀξιωμάτων ὑβριζομένων, ἢ τοῦ δικαστικοῦ σχήματος ἀναξίως προϊόντος. ἐπεί τοιγε μετὰ τοὺς μεγαλοπρεπεστάτους ἰλλουστρίους ἅπασιν ἄδεια ἔστω βουλομένοις καὶ ἐντολέας προβάλλεσθαι, καὶ δι᾽ ἑαυτῶν ἀγωνίζεσθαι, οὐδεμιᾶς ἐντεῦθεν οὐδὲ κωλύσεως, οὐδὲ ζημίας, οὐδὲ ποινῆς παρὰ τοῦτο ἐπαγομένης αὐτοῖς. Η τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, ἅπασι ποιησάτω φανερὰ, τὰ συνήθισμένα ἐπὶ τούτοις πράττουσα. DAT. K. IVN. CONSTANT. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

## Περὶ κουρατόρων καὶ κηδεμόνων, καὶ τῆς τῶν νέων φροντίδος. Διάταξις οβ.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, ὑπάτῳ ὀρδιναρίῳ, καὶ πατρικίῳ.

ΠΑΝΤΑ μὲν τῷ νομοθέτῃ τὰ τῆς πολιτείας ἐν μεγάλῃ φροντίδι καθέστηκεν, ὅπως ἂν ἄριστα ἔχοι, καὶ ἁμαρτάνοιτο μηδέν· διαφερόντως δὲ τὰ συμβόλαια τῶν νέων, καὶ ἡ περὶ αὐτοὺς φροντὶς, πρᾶγμά ἐστι περισπούδαστον τοῖς τοῦ νομοθετεῖν παρὰ θεοῦ τὴν ἐξουσίαν λαβοῦσι· φαμὲν δὴ τῷ βασιλεύοντι. πολλῶν γοῦν ἠκούσαμεν δικῶν, ἔνθα οἱ θαυμαστοὶ κηδεμόνες ἐκχωροῦνται κατὰ τῶν νέων, εἴτε ἀνήβων, εἴτε ἐφήβων μὲν, ἐπὶ δὲ τῆς δευτέρας ἡλικίας ὄντων· καὶ εὐθὺς κύριοι τῆς ἐκείνων γίνονται περιουσίας, ἢ τὰ οὐκ ὄντα ἴσως ὑπεισιόντες χρέα, ἢ ὀλίγου τιμήματος ἐκχωρούμενοι τὰ πανταχόθεν σαθρὰ, ἢ καὶ ἀποκρύπτοντες ἀποδείξεις τῶν χρεωστούσας ἐν τοῖς τῶν νέων πράγμασι, καὶ οὕτω τὰς ἐκχωρήσεις λαμβάνοντες, καὶ κατὰ πολλὰς ἄλλας προφάσεις (τί δὲ οὐκ ἄνθρωπος πρὸς κακίαν ἅπαξ ἐκκλίνας ἐξεύροι;) τὰ τῶν νέων οἰκειοῦνται πράγματα. Ταῦτα ἅπαντα νόμῳ διορθῶσαι βουλόμεθα, τό πρός γε ἐκεῖνο, τὸ, εἴ τις ὑπεύθυνον ἔχοι τὸν νέον, ἢ τὰ αὐτοῦ πράγματα, τοῦτον μηδὲ προσιέναι παντελῶς εἰς τὴν αὐτοῦ κηδεμονίαν, κἂν εἰ παρὰ τῶν νόμων καλοῖτο. τί γὰρ ἂν οὐ πράξειεν ὑπὲρ ἑαυτοῦ, κύριος ἑαυτοῦ τε ὢν καὶ τῶν τοῦ ἀντιδίκου πραγμάτων γινόμενος; διὰ ταῦτα γὰρ κἀκεῖνο νομοθετοῦμεν, ὥστε εἰ προφανέστατα δῆλός ἐστιν ὁ γινόμενος κηδεμὼν, αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου δικαίοις, οὐδὲ ἐκεῖνος κηδεμὼν

Universidad Carlos III de Madrid. Biblioteca

ἔσται· μή ποτε ἢ γραμματεῖον ἐκκλέψειεν, ἢ ἄλλας ἀποδείξεις οὔσας ἀφανίσειε τῷ νέῳ, καὶ ἡ κηδεμονία γένοιτο τούτῳ τῶν οἰκείων πραγμάτων ὄλεθρος. Τοῦτό τε οὖν ἀσφαλὲς καταδεδέχθω νόμῳ, τὸ μηδένα τῶν ὑπεύθυνα λεγόντων ἔχειν τὰ πράγματα τοῦ τελευτήσαντος, καὶ τὸν νέον αὐτὸν καὶ τὰ τούτου πράγματα, ἢ καὶ περιφανῶς ὑπεύθυνον ὄντα, παριέναι πρὸς τὴν κηδεμονίαν τὴν αὐτοῦ, μηδὲ ἔχειν παῤῥησίαν τοιοῦτό τι πρᾶξαι. καὶ τὸ καθόλου, εἴ τις ἤδη τῆς κηδεμονίας ἐχόμενος, ὑπεύθυνον αὐτῷ κτήσοιτο τὸν νέον, κλήρου τυχὸν εἰς αὐτὸν κατενεχθέντος τινός, ὡς ὑπεύθυνον εἶχε τὸν νέον, ἢ ἄλλης τοιαύτης προφάσεως· μηκέτι μόνον αὐτὸν εἶναι πιστὸν πρὸς τὴν τῶν ἀνήβων ἢ τῶν νέων κηδεμονίαν, ἀλλὰ παραζεύγνυσθαι ἐπίτροπον ἕτερον ἢ κηδεμόνα (ὅπερ ἐν πολλοῖς θέμασι τῶν νόμων εὑρίσκομεν) ὥστε φυλάττειν ἐκεῖνον μή τι γένηται κατὰ τοῦ νέου ἢ τῆς αὐτοῦ περιουσίας, παρὰ τοῦ κτησαμένου τὸν ὑπεύθυνον, ἐν μέσῳ κακούργημα· ἀλλ' αὐτὸ τοῦτο παρατηρεῖν, ὅρκον τε ὀμνὺς ἐπὶ τῇ χειροτονίᾳ ὡς τοῦτο φυλάξει, καὶ τὴν ἐκ τοῦ πρὸς τὸν συγκηδεμόνα προδοσίας ποινὴν εὐλαβούμενος. Ἵνα δὲ μὴ δῶμεν παραίτησιν πᾶσιν ἀνθρώποις ἐπιτροπῆς ἢ κηδεμονίας, εἰ λέγοιεν ὡς ὑπεύθυνα ἔχουσι τὰ πράγματα τῶν νέων, ἢ περιφανῶς ὑπεύθυνοι καθεστᾶσι· θεσπίζομεν, εἴ τις φήσειεν ὑπεύθυνον ἔχειν τὸν νέον, ἢ τὰ αὐτοῦ πράγματα, ἢ τοὺς τοῦ νέου γονεῖς, ἐντεῦθεν δείκνυσθαι τοῦτο παρὰ τὸν τῆς παραιτήσεως καιρόν, παρὰ τῷ διδόντι τὸν κηδεμόνα, καὶ ἀπηλλάχθαι. ἢ, εἴπερ ἄδηλον εἴη τοῦτο, ὅρκον πρὸς τῶν ἁγίων λογίων ὑπέχειν ὡς τῇ ἀληθείᾳ ὑπεύθυνον αὐτὸν ἔχειν πεπιστευκώς, παραιτεῖται. καὶ εἰ τοῦτο γένοιτο, τῆς ἐπιτροπῆς μὴ προσάπτεσθαι, μηδὲ τῆς κηδεμονίας, ἀλλ' ὡς πορρωτάτω τοῦτον ἀπελαύνεσθαι τοῦ πράγματος· ἵνα μὴ αὐτόθεν πολέμιον ἀλλ' οὐ κηδεμόνα δῶμεν τῷ νέῳ. Εἰ δὲ σιγήσειε τὴν ἀρχὴν τοῦτο, καὶ γένοιτο κηδεμών, ἴστω πάσης ἀγωγῆς κατὰ τοῦ νέου, εἰ καὶ ἀληθὴς ἦν, ἐκπεσούμενος, διὰ τὴν ἐξεπίτηδες πρὸς τὸν νόμον τοῦτον παραπροσποίησιν. Εἰ δὲ καί τις περιφανῶς ὑπεύθυνος ὢν σιγήσειεν, ἴστω καὶ αὐτὸς ὡς ὑφέξει ποινήν, τὸ μὴ δύνασθαι καταβολαῖς ἢ ἄλλαις λύσεσι τοῦ χρέους ἑαυτὸν ἐκβάλλειν, ἴσως ἐν τῷ καιρῷ τῆς κηδεμονίας τετεχνασμέναις.

Εἰ δέ τις, ὡς εἴρηται, γενόμενος κηδεμών, εἶτα περιεργάζοιτο τὰ τοῦ νέου πράγματα, καὶ ἐκχωρήσεις εἰς ἑαυτὸν ἢ κατὰ δωρεάν, ἢ κατὰ πρᾶσιν, ἢ καθ' ἕτερον οἱονδήποτε τρόπον πράττοι, ἴστω παντοίως ἄκυρον εἶναι τὸ παρ' αὐτοῦ γινόμενον· καὶ μήτε δι' ἑαυτοῦ μήτε διὰ παρεντιθεμένου προσώπου τοιοῦτό τι πράττεσθαι, ἀλλὰ πανταχόθεν ἄκυρα τὰ τοιαῦτα γίνεσθαι, ὡσανεὶ μηδὲ τὴν ἀρχὴν γενόμενα. πρόδηλον γὰρ ὡς εἴπερ εἰς τοιαύτην ἔννοιαν ἐμπέσοι, πάντα πράξει καὶ διοικήσει πρὸς ὄλεθρον μὲν τῆς ἑαυτοῦ ψυχῆς, τῶν δὲ φαινομένων αὐτοῦ πραγμάτων δῆθεν ὠφέλειαν. καὶ οὐ μόνον ἕως ἂν ᾖ κηδεμών, εἰργόμενον αὐτὸν τῆς τοιαύτης ἐκχωρήσεως, ἀλλὰ καὶ μετὰ ταῦτα· μή ποτε τοῦτο ἐννοήσας, ταμιεύσηται τὸ πρᾶγμα. καὶ προκαταστήσας αὐτὸ κακῶς, ἔπειτα ἐπειδὰν τῆς κηδεμονίας παύσαιτο, καὶ λάθοι τὸ κακουργηθέν, ἴσως τηνικαῦτα οὐκ ἔτι κηδεμὼν ὤν, τήν τε ἐκχώρησιν λάβοι, καὶ τὸ πρᾶγμα κακουργήσειε. καὶ τηνικαῦτα γὰρ ἄκυρον εἶναι βουλόμεθα τὸ γινόμενον. καὶ μὴ δύνασθαι μηδεμίαν ἀγωγὴν κρατεῖν κατὰ τοῦ προτέρου κηδεμονευθέντος ἐκχωρουμένην· ἀλλ' αὐτὴν μηδὲ γεγονυῖαν εἶναι, καὶ κέρδος γίνεσθαι τῷ νέῳ, κἂν εἰ τὰ τῆς ἐκχωρήσεως ἐπ' ἀληθέσιν αἰτίαις γένοιτο· οὐχ ὥστε ἐπανελθεῖν πάλιν ἐπὶ τὸν ἐκχωρήσαντα (ὡς μηδενὸς δῆθεν ἐν μέσῳ παρὰ τῶν νόμων δοκοῦντος γεγενῆσθαι) ἀλλ' ὥστε



Universidad Carlos III de Madrid. Biblioteca

ἐκπίπτειν αὐτὸν τῶν ἐκεῖθεν κτηθέντων, διὰ τὴν παράβασιν τοῦ ἡμετέρου νόμου, καὶ ταῦτα τὸν νέον κερδαίνειν. εἰ γὰρ μὴ ταύτην ἐπιθείημεν τὴν ποινὴν, ῥάδια τὰ τῆς κακουργίας ἔσται, καὶ τὸν ἐκχωρήσοντα παρασκευάσει πάλιν κινῆσαι, καὶ διὰ τοῦ μέσου τὰ τῆς ἐκχωρήσεως λήψεται, τὸν νόμον διὰ τῆς ἑαυτοῦ κακουργίας κατασοφισάμενος. καὶ ταῦτα φαμὲν ἐπὶ κηδεμόνος παντὸς, ἐφ' ὧν ὅλως κηδεμονίας τινὰς εἰσάγουσιν οἱ νόμοι· ἀσώτων τυχὸν, ἢ μαινομένων, ἢ παραφρονούντων, ἢ εἴ τι ἕτερον ὁ νόμος εἶπεν ἤδη, ἢ καί τι παράδοξον ἡ φύσις ἐξεύροι. Ἐπειδὴ δὲ ὁρῶμεν τοὺς κηδεμόνας, ὅσοι θεοῦ μνήμην ἔχουσι, πρὸς κηδεμονίας δυσκόλως ἰόντας (τοῖς γὰρ πολλοῖς ὅσοι βούλονται τὰ τῶν κηδεμονευομένων ἀσεβῶς εἰς ἑαυτοὺς τρέψαι, τὸ πρᾶγμα ἐράσμιόν τε καὶ ἐπίδρομον ἐστὶν) ὁρῶμεν δὲ μάλιστα τὸ τῶν κηδεμόνων δύσκολον εἶναι πρᾶγμα, διὰ τὴν τῶν δανεισμάτων ἀνάγκην· θεσπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμου καθεστάναι τοῖς κηδεμόσι τὰ τῶν νέων χρήματα δανείζειν, ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι, καὶ φυλάττειν αὐτοῖς. κάλλιον οὖν τὴν ἐπὶ τοῖς ἀρχαίοις αὐτοῖς ἀσφάλειαν μένειν, ἢ τῇ τῶν τόκων ἐφέσει, καὶ τῶν ἀρχαίων ἐκπεσεῖν· καὶ κινδυνεύειν μὲν τὸν κηδεμόνα, εἰ μὴ δανείσοι· αὖθις δὲ εἰ δανείσοι, κινδυνεύειν, ἀποτυχίας ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. εἰ μέντοι αὐτὸς ἑκὼν δανεῖσαι βουληθείη, ἴσως ἐπὶ δόσει ἐνεχύρων, ἢ ἐπ' ἄλλαις ταῖς αὐτῷ νομιζομέναις ἀναμφισβητήτοις ἀσφαλείαις, τηνικαῦτα ἐχέτω μὲν τὸ τῶν δύο μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον (τοῦτο ὅπερ οἱ νόμοι laxamenton καλοῦσιν) ἴστω δὲ τὸν τοῦ δανείσματος κίνδυνον ἐφ' ἑαυτὸν πάντως ἐλευσόμενον. Εἰ μὲν οὖν ἔχοι προσόδους αὐτάρκεις ὁ κηδεμονευόμενος, ταύτας δαπανάτω· εἰ δὲ πλείους εἰσὶ τῶν αὐτάρκων, τὸ πλέον ἀποτιθέσθω. Εἰ δὲ κινητὴ πολλάκις ἡ τοῦ κηδεμονευομένου περιουσία τυγχάνει, τηνικαῦτα ἐκεῖνο μόνον δανείζειν ὁ κηδεμὼν ἀναγκαζέσθω, ὅσον πρὸς τὴν διοίκησιν ἀρκεῖ τῷ νέῳ καὶ τῶν αὐτοῦ πραγμάτων, τὸ δὲ περιττὸν ἀσφαλῶς ἀποτιθέσθω. Ἐξέσται δὲ αὐτῷ σὺν ἀκριβείᾳ πάσῃ περιεργάζεσθαι, εἴ τινα, ὡς εἰκὸς, εὕροι ἀσφαλῶς δυνηθείη πρόσοδον, ὠνήσασθαι τῷ νέῳ ἐκ τῶν περιττευόντων χρημάτων, ὀλίγων μὲν δημοσίων φόρων ὑπεύθυνον, πρατῆρα δὲ ἔχουσαν εὔπορον, καὶ εὐθαλῆ τὴν πρόσοδον οὖσαν. δίδομεν γὰρ αὐτῷ παῤῥησίαν καὶ τοῦτο πράττειν, ἐπιστάμενος ὡς εἴ τινος τούτων ἀμελήσειεν, ὁ τῆς ἀγρεασίας ταύτης αὐτὸν ὄψεται κίνδυνος. Εἰ δὲ τοσοῦτον μόνον εἴη τὸ τοῦ νέου χρεῖον, ὁπόσου τόκος μόλις αὐτόν τε καὶ τοὺς αὐτοῦ τρέφειν, καὶ τὴν ἄλλην αὐτῷ παρέχειν τοῦ βίου διοίκησιν ἀρκεῖ, τηνικαῦτα ὁ τῆς ἀνάγκης λόγος ἡμᾶς καὶ πρὸς τοῦτο καλεῖ, τῶν κηδεμόνων ἀφορώντων εἰς θεὸν, καὶ οὕτω ποιουμένων τὰς διοικήσεις ὡς ἂν ἐπὶ τοῖς ἑαυτῶν πράγμασι. καὶ γὰρ βουλόμεθα, ἡνίκα καθισταίη ψῆφος παραδιδοῦσα τὴν κηδεμονίαν τῷ πρὸς ταύτην παριόντι, καὶ ὅρκον αὐτῷ προσεπιτιθέναι, τῶν θείων ἁπτομένῳ λογίων, ὡς διὰ πάσης ἰὼν ὁδοῦ τὸ συμφέρον τῷ νέῳ πράξει. ὅπερ οὐκ ἐξαιρήσει τῶν λογισμῶν αὐτὸν, οὐδὲ τῆς τοῦ νόμου ἐπάξεως, ἀλλ' ἀσφαλέστερόν τε ποιήσει πρὸς τὴν τῶν πραγμάτων διοίκησιν, εὐλαβέστερον ἀεὶ περὶ αὐτὰ, διὰ τὴν τοῦ ὅρκου μνήμην, γινόμενον. Οὗτος ἡμῖν ὁ νόμος ὑπὲρ ἀσφαλείας κείσθω τῶν κηδεμονίας δεομένων. εἰ δέ τι καὶ ἕτερον προσεξευρίσκομεν, οὐδὲ τοῦτο νόμῳ περιλαβεῖν ὀκνήσομεν, ἵνα διὰ πάντων πατέρες τοῖς ἑαυτοῖς βοηθεῖν οὐ δυναμένοις γινώμεθα. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν, κηρύγμασι κατὰ τὰς ἐπαρχίας ἃς ἐφέστηκας χρωμένη, πᾶσι ποιησάτω φα-

Universidad Carlos III de Madrid. Biblioteca

νερά, ὥστε μηδένα λαθεῖν τὰ παρ' ἡμῶν εὐσεβῶς τε καὶ ὑπὲρ τῆς τῶν ὑπηκόων προνοίας νενομοθετημένα. DAT. KAL. IVNII CONSTANT. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

## Περὶ τοῦ πῶς χρὴ ἐπιπίθεσθαι τὸ πιστὸν τοῖς παρὰ δικασταῖς ἐμφανιζομένοις συμβολαίοις. Διάταξις ογ'.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

ΙΣΜΕΝ τοὺς ἡμετέρους νόμους, οἳ βούλονται καὶ ἐκ τῆς παραθέσεως τῶν γραμμάτων τὴν πίστιν δίδοσθαι τοῖς συμβολαίοις, καὶ ὅτι τινὲς τῶν αὐτοκρατόρων, ἐπιπολασάσης ἤδη τῆς κακίας τοῖς νοθεύουσι τὰ συμβόλαια, τὰ τοιαῦτα ἐκώλυον· ἓν ἐκεῖνο σπούδασμα τοῖς παραποιοῦσιν εἶναι πιστεύοντες, τὸ πρὸς τὴν μίμησιν τῶν γραμμάτων ἑαυτοὺς ὅτι μάλιστα ἐγγυμνάζειν. διότι μηδὲν ἕτερόν ἐστι παραποίησις εἰ μὴ τῶν ἀληθῶν μίμησις. ἐπεὶ τοίνυν ἐν τούτοις δὴ τοῖς χρόνοις μυρίας εὕρομεν παραποιήσεις ἐν δίκαις πολλαῖς ὧν ἠκροασάμεθα, καί τι παράδοξον ἡμῖν ἐξ Ἀρμενίας ἀνέστη. προκομισθέντος γὰρ ἀμειψίως συμβολαίου, καὶ τῶν γραμμάτων ἀνομοίων κριθέντων, ὕστερον ἐπειδὴ παρῆλθον οἱ τῷ συμβολαίῳ μαρτυρήσαντες, καὶ γράμματα ὑποθέντες, καὶ ταῦτα ἐπιγνόντες, πίστιν ἐδέξατο τὸ συμβόλαιον· καί τι παράδοξον ἐντεῦθεν ἀπήντησεν, ὅτι τὰ μὲν γράμματα ἄπιστα ὤφθη, καίτοιγε ἐξετασθέντα, τὰ δὲ παρὰ τῶν μαρτύρων ἀπήντησε σὺν ἀληθείᾳ· καὶ ταῦτα, τῆς παρὰ τῶν μαρτύρων πίστεως δοκούσης εἶναί πως ἐπισφαλοῦς. ὁρῶμεν μέντοι τὴν φύσιν αὐτὴν πολλάκις δεομένην τῆς τοῦ πράγματος ἐξετάσεως· ὅπου γε τὴν τῶν γραμμάτων ἀνομοιότητα πολλάκις μὲν χρόνος ποιεῖ (οὐ γὰρ ἂν οὕτω γράψειέ τις νεάζων καὶ σφριγῶν, καὶ γεγηρακὼς ἴσως καὶ τρέμων) πολλάκις δὲ καὶ νόσος τοῦτο ποιήσειε. καίτοι τί ταῦτα φαμὲν, ὅπου γε καλάμου τε καὶ μέλανος ἐναλλαγὴ τὸ τῆς ὁμοιότητος διὰ πάντων ἀκραιφνὲς ἀφείλετο. καὶ οὐκ ἂν εὕροιμεν ἐφεξῆς εἰπεῖν ὁπόσα ἡ φύσις τίκτουσα καινουργεῖ, τοῖς νομοθέταις ἡμῖν παρέχουσα πράγματα. Ἐπειδὴ τοίνυν βασιλείαν διὰ τοῦτο ὁ θεὸς ἐξ οὐρανοῦ καθῆκεν, ἵνα τοῖς δυσκόλοις ἐπιτιθῇ τὰ παρ' ἑαυτῆς ἀγαθὰ, καὶ τοὺς νόμους ἁρμόζῃ πρὸς τὴν τῆς φύσεως ποικιλίαν· διὰ τοῦτο ᾠήθημεν χρῆναι καὶ τοῦτον γράψαι τὸν νόμον, καὶ δοῦναι ἐν κοινῷ τοῖς ὑπηκόοις, ὁπόσους ἡμῖν ὁ θεὸς πρότερόν τε παρέδωκε καὶ κατὰ μικρὸν ἀεὶ προστίθησι. Καὶ γάρ τι καὶ περὶ παρακαταθήκην ἐκ γραμμάτων ἀμφισβητηθέν τε καὶ στασιασθὲν εὕρομεν· καὶ δεῖ καὶ τούτων παντοίαν ποιήσασθαι πρόνοιαν. τοιγαροῦν εὐθὺς ἡμῖν ἐκ τῆς παρακαταθήκης ἀρκτέον. Εἴ τις τοίνυν ἀσφαλῶς παρακαταθέσθαι βούλεται, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασι (τοῦτο γὰρ ἐν τῇ δίκῃ ζητηθὲν, ἐπειδὴ παρ' οὐ συνωμολόγησεν ὁ γεγραφέναι λεγόμενος αὐτοῦ καθεστάναι τὰ γράμματα, μεγάλην ἔσχε ταραχὴν, καὶ γράψαι ἕτερα καταναγκασθέντος, ἃ παρ' ἔδοξε παρόμοια μὲν, οὐ μὴν διὰ πάντων παρεοικότα· καίτοιγε ἐπὶ τοῖς γράμμασιν ἀκρίτου τοῦ πράγματος μεμενηκότος) ἀλλ' ὁ τὴν παρακαταθήκην διδοὺς, προσκαλείσθω καὶ μάρτυρας ὡς οἷόν

τε σημειοῖς καὶ πίστεως ἀξίοις καὶ οὐκ ἐλάττοσι τριῶν, ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν γραμμάτων καὶ τῆς τούτων ἀντεξετάσεως, ἀλλ' ᾖ τοῖς δικάζουσι καὶ ἡ παρὰ τῶν μαρτύρων βοήθεια. καὶ γὰρ δὴ καὶ τοιαύτας μαρτυρίας προσιέμεθα, ὥστε παριόντας μάρτυρας λέγειν ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιούμενος, καὶ τοῦτο ἐπίστανται. εἰ γὰρ εὕροιμεν καὶ τοιούτους τινὰς μάρτυρας, οὐκ ἐλάττους τῶν τριῶν, ἀξιοπίστους καθεστῶτας, οὐδὲ τὴν τοιαύτην ἀπαγορεύομεν πίστιν. οὐ γὰρ ἵνα συστέλλωμεν τὰς ἀποδείξεις, τίθεμεν τὸν νόμον, ἀλλ' ἵνα καὶ εἶναι αὐτὰς ποιήσωμεν, καὶ ἀσφαλῶς εἶναι. Ἀλλὰ καὶ εἴ τις ἢ δανείσματος συμβόλαιον ἢ ἄλλου τινὸς πράττοι, καὶ μὴ βούλεται τοῦτο ἐπ' ἀγορᾶς συντεθεῖναι (ὅπερ καὶ ἐπὶ τῆς παρακαταθήκης ὁρίζομεν) μὴ αὐτόθεν δοκείτω πιστὸν τὸ γραφόμενον ἐν τῷ δανείσματι συμβόλαιον, πλὴν εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων, οὐκ ἐλαττόνων τῶν τριῶν· ἵνα εἴτε αὐτοὶ παραγίνοιντο καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν, εἴτε ἕτεροί τινες, μαρτυροῦντες ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη· λαμβάνῃ τὸ πρᾶγμα τὴν πίστιν ἑκατέρωθεν, οὐκ ἀποβλήτου παντελῶς καὶ τῆς τῶν γραμμάτων ἐξετάσεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης, τῇ δὲ προσθήκῃ τῶν μαρτύρων βεβαιουμένης. Εἰ μέντοι τοιοῦτό τι συμβαίη ὁποῖον ἐπ' Ἀρμενίας ἐγένετο, καὶ ἑτέραν μὲν ἡ παράθεσις τῶν γραμμάτων ποιεῖ, ἑτέραν δὲ αἱ μαρτυρίαι τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς καὶ μεθ' ὅρκων, ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς καθ' αὑτὴν τυγχάνειν. πλὴν ἀλλ' ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε ὁμοῦ καὶ θεοφιλίας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν τοιούτων πιστεῦσαι. καὶ ἡμεῖς μὲν κατὰ τοῦτον τὸν τρόπον οἰόμεθα δεῖν ἀποδείκνυσθαι πιστὰ τὰ συμβόλαια. Εἰ μέντοι τις ἢ παρακατατιθέμενος, ἢ δανείζων, ἢ ἄλλως συμβάλλων, ἀρκεσθείη τοῖς γράμμασι μόνοις τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ' αὐτῷ κείσεται τὸ γινώσκειν ὡς τῆς ἐκείνου πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο. καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς, οὐκ ἂν αὐτάρκης δόξειε, κατὰ τὸν ἡμέτερον νόμον, τῷ συμβολαίῳ προστίθεσθαι πίστις· εἰ δὲ ἡ παρουσία τῶν μαρτύρων, ἐφ' ὧν τὸ συνάλλαγμα γέγονεν, ἢ ἴσως ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ (φαμὲν δὲ τὴν ἐξ ὅρκων) οὐκ ἀκυρούμενον τὸ γινόμενον. τὰς γὰρ παραποιήσεις καὶ τὰς μιμήσεις εὐλαβούμενοι, καὶ γυμναῖς οὔσαις αὐταῖς οὐ πιστεύοντες, τὴν τοιαύτην ἀκρίβειαν τῷ πράγματι προστίθεμεν· οὐχ ἵνα τοὺς πιστεύοντας ἀφελοίμεθα τῆς ἑαυτῶν περὶ τοὺς φίλους πίστεως, ἀλλ' ἵνα ὡς οἷόν τε ᾖ τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις. Ἀλλὰ καὶ τὰ συμβόλαια τὰ ἐπ' ἀγορᾶς συντελούμενα, εἰ καὶ τὴν τῶν συμβολαιογράφων ἔχοι πλήρωσιν, προσλαμβανέτω καὶ αὐτὰ περὶ τοῦ τελέσματος, τὴν ἐν γράμμασι τῶν μαρτύρων, ὡς εἴρηται, παρουσίαν. Δεῖ μέντοι τοὺς δικάζοντας, καὶ εἴ τινα σημεῖα εὕροιεν προσγεγραμμένα τοῖς χάρταις, καὶ ταῦτα ἀναζητεῖν, καὶ ἀναγινώσκειν πειρᾶσθαι (πολλὰ γοῦν ἴσμεν καὶ ἐξ ἐκείνων διαφανέντα) καὶ μὴ προχείρως τὰς πίστεις τῶν γραμμάτων ἐκ παραθέσεως ἑτέρων προσίεσθαι, διὰ τὰς ἔμπροσθεν ἡμῖν εἰρημένας αἰτίας. Εἰ μέντοιγε τελευτήσαιεν ἅπαντες οἱ μάρτυρες, ἢ καὶ ἄπεισι τυχὸν, ἢ καὶ ἄλλως οὐ ῥᾴδιόν ἐστι τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιθεῖναι, μηδὲ ὁ συμβολαιογράφος περίεστιν ὁ τελέσας (εἴγε ἀγοραῖον εἴη) ὥστε μαρτυρῆσαι τοῖς ἑαυτοῦ, ἢ μηδὲ ἐνδημοίη, ἀλλ' ἀνάγκη πάντως τὴν ἀντεξέτασιν τῶν γραμμάτων, ἢ τῶν τελεσμάτων, ἢ τῶν ὑπογραψάντων παραλαβεῖν· τηνικαῦτα προσῆκόν ἐστιν ἰέναι μὲν ἐπὶ τὰς συγκρίσεις (οὐδὲ γὰρ παντάπασιν

Universidad Carlos III de Madrid. Biblioteca

αὐτὰς ἀπαγορεύομεν) διὰ πάσης δὲ ἀκριβείας χωρεῖν, καὶ πάντως, εἰ νομίσειεν αὐτὰς χρῆναι πιστεύειν, καὶ ὅρκον ἐπάγειν τῷ προσκομίζοντι, ὅτι μηδὲν συνειδὼς ποτὲ πονηρὸν τῷ παρ' αὐτοῦ προσκομιζομένῳ, οὐδέ τινα τέχνην περὶ τὴν σύγκρισιν γενέσθαι παρασκευάσας, οὕτω χρῆται τούτῳ· ὥστε μήτε ἀναιρεθῆναί τι παντελῶς, καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγμασι γενέσθαι. ἐπὶ γὰρ δὴ τῶν ἐπ' ἀγορᾶς συντατομένων συμβολαίων, εἴπερ ὁ συμβολαιογράφος παρέλθοι, καὶ μαρτυρήσειε μεθ' ὅρκου· εἰ μὲν οὐ δι' ἑαυτοῦ ἔγραψεν, ἀλλὰ διά τινος τῶν ὑπουργούντων αὐτῷ, παρείτω κἀκεῖνος, εἴγε περίεστιν, ἢ δυνατὸν ὅλως αὐτὸν ἐστὶν ἐλθεῖν· καὶ οὐδεμία τὴν αὐτοῦ πάροδον αἰτία κωλύοι, ἢ νόσος τυχὸν ἰσχυρά, ἢ τι τῶν περιστάσεων ἄλλων ἅπερ ἀνθρώποις ἀπαντᾷ. εἰ δὲ καὶ ἀριθμητὴν ἔχοι τὸ συμβόλαιον, κἀκεῖνος παραγινέσθω· ὥστε τρεῖς εἶναι τοὺς μαρτυροῦντας, ἀλλ' οὐχ ἕνα. εἰ δὲ οὔτε ἀριθμητὴς προσελήφθη, τό, τε συμβόλαιον αὐτὸς ἅπαν δι' ἑαυτοῦ γέγραφέ τε καὶ ἐτέλεσεν ὁ συμβολαιογράφος· ἢ καὶ ὁ τοῦτο συγγράψας ἄπεστιν, ἢ ἄλλως παρεῖναι οὐκ ἰσχύει, αὐτὸς μέντοι μεθ' ὅρκου τῷ οἰκείῳ τελέσματι μαρτυρεῖ, ὥστε μὴ τῇ συγκρίσει γενέσθαι χώραν· ἔστω καὶ οὕτω πιστὰ τὰ συμβόλαια. ἡ γὰρ μαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ τελέσαντος γινομένη, καὶ τὸν ὅρκον ἔχουσα προσκείμενον, ποιήσειεν ἄν τινα τῷ πράγματι ῥοπήν. Εἰ δὲ ὁ συμβολαιογράφος ἐτελεύτησε, καὶ μαρτυρηθείη τὸ τέλεσμα ἐξ ἑτέρας παραθέσεως, εἰ μὲν καὶ οὕτως ἔχοι τόν τε συντάξαντα τὸ συμβόλαιον περιόντα, καὶ τὸν ἀριθμητήν, παρέτωσαν κἀκεῖνοι, εἴγε ἐνδημοῖεν· καὶ ἐχέτω καὶ τὴν ἐκ τῆς παραθέσεως τῶν πληρώσεων τὸ γράμμα πίστιν, καὶ τὴν ἐκ τῶν μαρτύρων. Εἰ δὲ μηδεὶς τούτων εἴη, τηνικαῦτα γινέσθω μὲν ἡ τῶν τελεσμάτων παράθεσις, μὴ μόνα δὲ ταῦτα πρὸς τοῦτο ἀρκείτω, ἀλλὰ καὶ αἱ τῶν ἄλλων τῶν ὑπογεγραφότων ἴσως ἢ καὶ τῶν συμβαλόντων γραφαὶ κατεξεταζέσθωσαν. ὥστε ἐκ πολλῶν παραθέσεων τῶν τε τοῦ τελέσματος, τῶν τε ὑπογεγραφότων, ἢ καὶ τῶν συμβαλλόντων μίαν τινὰ συνάγεσθαι πανταχόθεν καὶ ἀποτελεῖσθαι πίστιν. Εἰ δὲ οὐδὲν ἕτερον εὑρεθείη πλὴν τῆς παραθέσεως τῶν συμβολαίων, τὸ μὲν μέχρι νῦν κεκρατηκὸς προβαινέτω, τὸν προσκομίζοντα εἰς τὴν παρ' ἄλληλα κρίσιν τὸ συμβόλαιον, ὀμνύναι τὰ νενομισμένα, ἵνα δή τινα ὅλως τὸ πρᾶγμα λάβοι προσθήκην, εἰς πλείονα τοῦ πράγματος πίστιν· καὶ αὐτὸς ὁ ταῦτα αἰτῶν γενέσθαι, προσομνύτω ὡς οὐδὲ ἄλλης εὐπορῶν πίστεως, ἐπὶ τὴν παρ' ἄλληλα κρίσιν τῶν συμβολαίων ἐλήλυθεν, οὐδέ τι περὶ αὐτὴν ἔπραξεν ἢ ἐμηχανήσατο, ὅπερ, ὡς εἰκός, δυνηθείη τὴν ἀλήθειαν κατακρύψαι. ὧν ἔξεστιν ἀπηλλάχθαι τοῖς συμβάλλουσιν, εἴπερ βούλοιντο, καὶ ἑκάτεροι πρὸς τοῦτο συμβαῖεν, τὸ ἐμφανῆ ποιεῖσθαι τὰ συμβόλαια, καὶ κατατίθεσθαί τε ἐπὶ πράξεως ὑπομνημάτων αὐτοὺς τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγνωμοσύνης τε καὶ νοθείας καὶ παραποιήσεων, καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες, τὸν παρόντα τίθεμεν νόμον, τῶν ἤδη παρ' ἡμῶν ἐπὶ ταῖς παραθέσεσι τῶν γραμμάτων τῶν ἐξ ἰδιοχείρων γινομέναις νενομοθετημένων, ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος. δηλαδὴ καὶ τῶν ἐπὶ τοῖς τῶν γραμμάτων ἀνεπιστήμοσιν ἤδη κεκρατηκότων ἐν τοῖς δικαστηρίοις, τὴν ἑαυτῶν ἐχόντων ἰσχύν· ἐπειδήπερ ἐκ δικαστικῶν τύπων τὰ τοιαῦτα τὸν προσήκοντα ἔλαβεν ἐξετασμόν. δεῖ δὲ ἐπὶ τῶν γράμματα οὐκ ἐπισταμένων ταβουλλαρίοις δύο πάντως καὶ μάρτυρας παραλαμβάνεσθαι, ἐν οἷς εἰσὶ ταβουλλάριοι τόποις· μάλιστα δὲ μάρτυρας οὐκ ἀγνῶτας τοῖς συμβάλλουσιν, ἵνα οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου ἢ ὀλιγογραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν ὡς καὶ παρόντων αὐτῶν ταῦτα



Universidad Carlos III de Madrid. Biblioteca

ἐπαράχθη, καὶ εἰδείεν αὐτὸν, καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων εἰσδεχθείη πίστις. δῆλον οὖν ὡς οὐκ ἐλάττους πέντε μαρτύρων ἐπὶ τῶν τοιούτων παραληφθήσονται· ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος, ἢ τὸ πᾶν, ἢ τὸ μετὰ τὰ ὀλίγα γράμματα τὰ παρ' ἐκείνου τεθέντα· ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτα φαμὲν ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθείη, τοῦτο πρόδηλον, ὡς ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι' ὅρκων δέξεται πίστιν, τοῦ μὲν ἐνάγοντος μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνύοντος ἢ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν· ἵνα μηδὲν εἴη μηδὲ τούτων ἀδιόρθωτον. Κἀκεῖνο μέντοι προσθεῖναι τῷ νόμῳ καλὸν, ὥστε εἰ μέχρι μιᾶς χρυσοῦ λίτρας εἴη τὸ συνάλλαγμα, τὴν τοιαύτην παρατήρησιν ἐπὶ τούτῳ μὴ φυλάττεσθαι, ἀλλὰ κατὰ τὸ μέχρι νῦν πολιτευόμενον τὸ πρᾶγμα γίνεσθαι, ἵνα μὴ περὶ πραγμάτων σμικρῶν μεγάλας συντελείας ὑπομένωσιν ἄνθρωποι. ταῦτα δὲ πάντα κρατεῖν ἐπὶ τῶν πόλεσι βουλόμεθα· ἐπεί τοιγε ἐν χωρίοις, ἔνθα πολλὰ τὰ τῆς ἁπλότητός ἐστι, καὶ οὐδὲ γραφόντων ἢ μαρτυρούντων πολλῶν εὐπορία, τὰ μέχρι νῦν παρ' αὐτοῖς κρατοῦντα, καὶ νῦν ἔστω βέβαια. τοῦτο γὰρ καὶ ἐπ' αὐτῶν τῶν διαθηκῶν, ἐφ' αἷς μάλιστα σπουδὴ, ἤδη παρ' ἡμῶν νενομοθέτηται). Κρατείτω δὲ ὁ νόμος ἐπὶ τοῖς μετὰ ταῦτα ἅπασι γινομένοις συμβολαίοις τε καὶ συναλλάγμασι. τὸ γὰρ δὴ παρῳχηκὸς τί ἄν τις νομοθετήσειε; οὗτον ἡμῖν ἔτεκε τὸν νόμον τὸ τῶν ἀμφισβητήσεων πλῆθος, γινομένων μὲν ἐν δίκαις, ἡμῖν δὲ εἰσηγμένων, ἵνα τοῦ καθ' ἑκάστην πρὸς ἀλλήλους ἀμφισβητεῖν τοὺς ἀνθρώπους παύσωμεν, προανατέλλοντες αὐτοῖς τὰς φιλονεικίας τῇ διὰ τῆς νομοθεσίας ἀκριβείᾳ. Ὥστε προσήκει τὴν σὴν ὑπεροχὴν ταῦτα μανθάνουσαν, φανερὰ πᾶσι καταστῆσαι τοῖς ὑπηκόοις, τοῖς τε ἐνταῦθοι, τοῖς τε ἐπὶ τῶν ἐθνῶν. καὶ γὰρ δὴ πρὸς τοὺς ἄλλους ἐνδοξοτάτους ὑπάρχους, τούς τε ἐπὶ τῆς ἑσπέρας, τούς τε ἐπὶ Λιβύης, τούς τε ἐπὶ τοῖς ἀρκτῴοις (φαμὲν δὲ τοὺς ἐν Ἰλλυριοῖς) γράψομεν. ἵνα πανταχοῦ ἡμῖν τὸ πολίτευμα μεστὸν γένηται τοῦ νόμου, τὰς τῶν ὑπηκόων θεραπεύοντος περιστάσεις. DAT. PRID. NON. IVN. CONSTANT. IMP. DN. IVSTIN. PP. AVG. ANN. XII. IOHANNE V. C. CONS.

## Περὶ τῶν παίδων, πῶς χρὴ νοεῖσθαι αὐτοὺς γνησίους ἢ νόθους. καὶ Περὶ ἀπροίκων συνοικεσιῶν. Διάταξις οδ'.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ΕΝδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ, καὶ πατρικίῳ.

ΟΡΘΩΣ εἴρηται τοῖς πρὸ ἡμῶν, καὶ πρός γε ἁπάντων Ἰουλιανῷ τῷ σοφωτάτῳ, τὸ μηδένα νόμον, μηδὲ δόγμα τῇ πολιτείᾳ Ῥωμαίων τεθὲν, δόξαι καὶ πρὸς τὸ πᾶν αὐτάρκως ἐξ ἀρχῆς νομοθετηθὲν, ἀλλὰ πολλῆς δεηθῆναι τῆς ἐπανορθώσεως, ἵνα πρὸς τὴν τῆς φύσεως ποικιλίαν καὶ τὰς ἐκείνης ἐπιτεχνήσεις ἀρκέσοι. Περὶ μὲν οὖν τῶν ἐκ νοθείας ἀφικνουμένων εἰς γνησίους, πολλοὺς ἐγράψαμεν καὶ ποικίλους νόμους· ἐκ δὲ τῶν καθ' ἑκάστην ὑπὸ τῆς φύσεως τεχναζομένων εὑρόντες τι τοῖς ἤδη νενομοθετημένοις ἐλλεῖπον, τοῦτο κατὰ τὸ παρὸν ἐπανορθοῦμεν. νενομοθέτηται γὰρ ὡς εἴ τις ἔχων γυναῖκα κατὰ ψιλὴν αὐτῷ διάθεσιν ἐγνωσμένην, εἶτα παιδοποιήσεται, ὕστερον δὲ αὐτῇ καὶ γαμικὰ ποιήσοιτο συμβόλαια, καὶ γνησίους ἐξ αὐτῆς τέκοι παῖδας, οὐδὲ οἱ πρότερον γε-

Universidad Carlos III de Madrid. Biblioteca

νόμενοι μένουσι νόθοι, ἀλλὰ κἀκεῖνοι τοῖς γνησίοις συναριθμοῦνται), διότι καὶ πρόφασις ὅλως αὐτοῖς εἰσὶ τῆς γεννήσεως. Ἀλλ' ἔχει καὶ ἑτέραν ἐπανόρθωσιν ὁ νόμος. ἐπειδὴ γὰρ οἱ δεύτεροί τε καὶ μετὰ τὰ προικῷα τεχθέντες ἐτελεύτησαν, εἶτα ἠξίουν τινὲς μηκέτι τοὺς προτέρους ἀπὸ τῶν δευτέρων οὐκ ὄντων βοηθεῖσθαι· καὶ τοῦτο ἐπηνωρθώσαμεν, καὶ δεδώκαμεν αὐτοῖς καὶ οὕτω, κἂν εἰ τετελευτήκασιν οἱ δεύτεροι γεγονότες ἀδελφοί, τὸ νόμιμον ἔχειν· κἀκεῖνο προσθέντες (ἐπειδὴ καὶ τοῦτο ἠμφισβητήθη) ὡς κἂν εἴ τινες μετὰ τὰ προικῷα μὴ γένοιντο παῖδες, ἀλλ' οὖν τοὺς προειληφότας, κἂν εἰ πρὸ τῶν προικῴων ἐτέχθησαν, τοῖς γνησίοις ἐγγράφεσθαι τοῦ παντὸς ὅλως εἰς τοῦτο ὁρμηθέντος. Ἀλλ' ἕτερόν τι τοιοῦτον ἀπήντησεν. ἐκ γὰρ δὴ τοιαύτης συνηθείας γενόμενοι παῖδες ὑπῆρχόν τινι· ὁ δὲ αὐτοὺς ἠβούλετο τῷ παρ' ἡμῶν ἐπινοηθέντι τρόπῳ ποιῆσαι γνησίους, τῇ τῶν γαμικῶν ποιήσει συμβολαίων. βουλευομένῳ δὲ ταῦτα τῷ πατρὶ τετελεύτηκεν ἡ γυνή, καὶ ὁ τῆς διατάξεως αὐτὸν ἐπέλιπε τρόπος· οὐ γὰρ ἦν πρὸς ἥντινα ἔδει γαμικὸν συντάξαι συμβόλαιον. καὶ νόθοι μένουσιν οἱ παῖδες ἄκοντος τοῦ πατρός. Καί τι καὶ δεύτερον εὕρηται τοιοῦτον ἐπ' ἀνδράσιν οὐδὲ ἀγνώστοις ἡμῖν. ἐπαιδοποιήσατο μὲν γάρ τις οὐ νομίμως, καὶ τοὺς μὲν παῖδας ὑπερηγάπα, καὶ γνησίους αὐτῷ γενέσθαι κατὰ τὸν νόμον ἠβούλετο, τὰ δὲ τῆς γυναικὸς οὐκ ἦν αὐτῷ παντελῶς ἀναμάρτητα, οὐδὲ ἀξίαν αὐτὴν ἡγεῖτο νομίμου τινὸς ὀνόματος, τήν γε ἑαυτὴν ὑβρίσασαν. ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν. ὥστε δεύτερος οὗτος τρόπος ὁ τοὺς παῖδας ἀδικῶν, ἐν μὲν δὴ τῷ προτέρῳ, διὰ τῆς τελευτῆς τῆς μητρός· ἐν δὲ τῷ δευτέρῳ, δι' ὧν ἐξήμαρτεν ἐκείνη. Ἴσμεν δὲ καί τι τρίτον ἕτερον κινηθέν. ὁ μὲν γὰρ πατὴρ γνησίους ἠβούλετο ποιῆσαι τοὺς παῖδας, καὶ τὰ ἐπὶ τοῖς προικῴοις νομοθετηθέντα παρ' ἡμῶν ἐσκόπει· οἱ μέντοι παῖδες αἰσθόμενοι τούτων, ἐπειδήπερ τις παραδόξως ἦλθεν εἰς τὴν τεκοῦσαν αὐτοὺς (καίτοιγε οὐ νόμιμον αὐτῷ γαμετὴν οὖσαν) παρά τινος συγγενοῦς εὐπορία, κακούργως ἅμα καὶ δολερῶς πράττοντες, τὴν μητέρα ἀπέκρυψαν, ἵνα μὴ γένηται δυνατὸν τῷ πατρὶ ποιήσασθαι γνησίους αὐτούς, καί, τελευτώσης ἴσως τῆς μητρός, τῆς τῶν μητρῴων πραγμάτων ἀπολαύσοιεν χρήσεως· τοῦτο ὅπερ τοῖς πατράσι δίδωσιν οὐ ποιῶν ὁ νόμος. ταῖς τοιαύταις οὖν ἀντιτάξασθαι τέχναις, νόμου καθέστηκεν ἴδιον ἀκριβοῦς, ὃν ἐν τῷ παρόντι τίθεμεν. Εἴ τις οὖν οὐκ ἔχων παῖδας νομίμους, νόθους δὲ μόνον, αὐτοὺς μὲν γνησίους ποιήσασθαι βούλεται, τὴν γυναῖκα δὲ ἢ οὐκ ἔχοι παντελῶς, ἢ οὐκ ἀναμάρτητον, ἢ οὐ φαινομένην ἔχοι, ἢ κατά τι νόμιμον πρὸς τὸ συνοικέσιον ἐμποδιζομένην· δίδομεν αὐτῷ παρρησίαν, ξένην τινὰ καὶ νῦν ἐξηυρημένην παρ' ἡμῶν ὁδὸν πρὸς γνησίους ἀγαγεῖν τοὺς νόθους, δηλαδὴ γνησίων ἐπὶ τῶν τοιούτων θεμάτων οὐκ ὄντων. ὥσπερ γὰρ ἐστί τις τοῖς παρ' ἡμῶν ἐξηυρημένος τρόπος, ὃς τοὺς ἀπελευθέρους εἰς εὐγένειαν ἄγει, προκαθαίρων μὲν αὐτοὺς ἑτέρᾳ τινὶ πράξει, καὶ διδοὺς αὐτοῖς τὸ τῶν χρυσῶν δακτυλίων δίκαιον, ὕστερον δὲ εἰς αὐτὴν ἐπανάγων τὴν φύσιν, τὴν δούλην τε καὶ ἐλευθέραν ἐξ ἀρχῆς μὴ διακρίνασαν, ἀλλ' ἐλευθέραν τὴν ἀνθρώπου ποιησαμένην γονήν· οὕτω δὴ καὶ ἡμεῖς τοῦτον δὴ τὸν τρόπον ἐπινοοῦμεν τῷ πράγματι. καὶ ἐξέστω τῷ πατρί, ἐπὶ τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων τρόπων, ἢ καὶ εἴ τις ἕτερος ἀπαρτήσει τοιοῦτος· πολλὰ δέ, καθάπερ ἔφθημεν εἰπόντες, τὰ τῆς φύσεως καινουργήματα· ἐξέστω τοίνυν, καθάπερ ἔφαμεν, ᾧ παρῇ, εἴπερ γνησίας οὐκ εὐπορεῖ γονῆς, τοὺς παῖδας ἀποκαταστῆσαι τῇ φύσει, καὶ τῇ ἄνωθεν εὐγενείᾳ, εἴ γε ἐξ ἐλευθέρας αὐτῷ γένοιντο, καὶ γνησίους τὸ λοιπὸν καὶ ὑπεξουσίους ἔχειν. * διεθεσμοθέτει τοῖς ἀνθρώποις μόνη, πρὶν τοὺς πολέμους εἰσφοιτῆσαι

νόμος, ἦν τις διαφορὰ νόθου τε καὶ γνησίου. ἀλλ᾽ ἃ τοῖς προτέροις γονεῦσιν οἱ πρότεροι παῖδες ἅμα τῇ προόδῳ γεγόνασι γνήσιοι, καὶ ὥσπερ ἐπὶ τῶν ἐλευθέρων ἡ μὲν φύσις ἐλευθέρους πεποίηκεν ἅπαντας, οἱ πόλεμοι δὲ τὴν δουλείαν ἐξεῦρον· οὕτω κἀνταῦθα ἡ μὲν φύσις γνησίας προήγαγε τὰς γονάς, ἡ δὲ εἰς ἐπιθυμίαν ἐκτροπὴ τὸ νόθον αὐταῖς προσανεμίξατο. ὥστε ὁμοίων τῶν παθῶν γινομένων, δεῖ καὶ τὴν θεραπείαν ἐκ τῶν ἴσων ἐξευρεθῆναι· τὴν μὲν παρὰ τῶν πρὸ ἡμῶν, τὴν δὲ ὑφ᾽ ἡμῶν. Ἔστω τοίνυν ἄδεια τῷ πατρί, τὴν μητέρα ἐπὶ τοῦ προτέρου καταλιμπάνοντι σχήματος, εἴπερ ταῖς ἀληθείαις ἁμαρτάνουσά τι περὶ τὴν εὐνὴν φανείη (ἄλλως γὰρ γίνεσθαι τοῦτο ἐπὶ τοῦ τοιούτου θέματος οὐκ ἐφίεμεν), ἢ εἴπερ κατά τινα περίστασιν, ἣν οὐκ ἔστιν, ἢ λανθάνοι, ἢ τι ἕτερον γένοιτο περὶ αὐτήν, ὃ αὐτὸν κωλύει τὴν ἐπὶ τὰ προικῷα φέρουσαν ὁδὸν ἐλθεῖν) καὶ οὕτως αὐτὸν προνοῆσαι τῶν παίδων, καὶ ἐπιδοῦναι τῇ βασιλείᾳ δέησιν, αὐτὸ τοῦτο λέγουσαν, ὡς βούλεται τοὺς νόθους αὐτοῦ παῖδας ἀποκαταστῆσαι τῇ φύσει, οὓς τῇ ἄνωθεν εὐγενείᾳ τε καὶ γνησιότητι· ὥστε ὑπεξουσίους αὐτῷ καθεστάναι· μηδὲν τῶν νομίμων παίδων διαλλάττοντας. καὶ τούτου γινομένου, ἐντεῦθεν τοὺς παῖδας ἀπολαύειν τῆς τοιαύτης βοηθείας, καὶ μηδὲ κακουργεῖν δύνασθαι τὸν πατέρα, καὶ ἀποκρυψαμένους τὴν μητέρα, διωθεῖσθαι τὴν γνησιότητα. ἑνὶ γὰρ δὴ τούτῳ τῷ τρόπῳ πάσας τὰς τοιαύτας τῆς φύσεως παρεκβάσεις τε καὶ ἐπινοίας ἐπὶ τῶν νομίμους οὐκ ἐχόντων παῖδας θεραπεύομεν, οὕτω συντόμῳ συμμαχίᾳ τοσαύτην ὁρμὴν ἐπανορθώσαντες φύσεως. Εἰ μέντοιγε ὁ μόνων φυσικῶν παίδων πατήρ, τοῦτο μὲν διά τινας τυχηρὰς περιστάσεις οὐ πέπραχε, τελευτῶν δὲ ἐπί τινος τῶν ἔμπροσθεν εἰρημένων θεμάτων γράψειεν διαθήκην, βούλεσθαι αὐτῷ γνησίους εἶναι τοὺς παῖδας καὶ διαδόχους, καὶ ἐν τούτῳ δίδομεν αὐτῷ παρρησίαν· δεομένων μέντοι καὶ οὕτω τῶν παίδων, μετὰ τὴν τελευτὴν τοῦ πατρός, καὶ τοῦτο διδασκόντων, καὶ δεικνύντων τὰς τοῦ πατρὸς διαθήκας, καὶ κληρονομούντων εἰς ὅσον ἂν ὁ πατὴρ αὐτοὺς γράψειε, καὶ ἐκ τῆς βασιλείας αὐτὸ λαμβανόντων. ἵνα κατ᾽ αὐτὸν δῶρον ἦ τὸ γινόμενον πατρός τε καὶ βασιλέως· ταυτὸν δέ ἐστιν εἰπεῖν, φύσεώς τε καὶ νόμου. καὶ ταῦτα φαμέν, οὐδένα τῶν ἔμπροσθεν νομίμων ἀναιροῦντες τρόπων, ἀλλὰ καὶ τοῦτον προστιθέντες ἐφ᾽ ὧν ἐκείνους λαβεῖν οὐκ ἔξεστιν. ὅλως γὰρ γνησίων ὑπόντων, εἶτα νόθων ἐπιγινομένων ἢ προγινομένων, οὐκ ἂν ἡ γνησιότης αὐτοῖς προστεθείη, εἰ μὴ πάντως διὰ τῶν διατάξεων ἡμῶν, αἳ περὶ τὸν τῶν προικώων συμβολαίων εἰσηγήσαντο τρόπον. Καὶ οὐ λέληθεν ἡμᾶς ὡς καὶ ὁ τῆς υἱοθεσίας τρόπος ἦν πάλαι τισὶ τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἐπὶ τῶν νόθων τῶν εἰς γνησίους μετισταμένων, νομισθεὶς οὐκ ἀδόκιμος. ἀλλ᾽ ὅ γε τῆς εὐσεβοῦς λήξεως ἡμῶν πατήρ, καὶ ἡ διάταξις ἡ παρ᾽ ἐκείνου τεθεῖσα, τῶν τοιούτων κατέγνω· μένειν δὲ κἀκείνην ἐπὶ τῶν ἑαυτῆς ὅρων βουλόμεθα, ἐπεὶ τῆς σωφροσύνης ἀκριβῶς ἐστόχασται· καὶ οὐ προσῆκόν ἐστι τὰ καλῶς ἐκβεβλημένα, πάλιν εἰς πολιτείαν κατάγειν. Κἀκεῖνο δὲ ἡγούμεθα κάλλιον εἶναι τάξαι προσηκόντως, ὅπερ ἐκ πολλῆς τῆς τῶν πραγμάτων ἐλάβομεν πείρας· πολλαὶ γοῦν καὶ ἐφεξῆς δίκαι προσηγγέλθησαν τῷ ἡμετέρῳ κράτει, τοῦ παρόντος ἡμᾶς εἰς χρείαν ἤγαγον νόμου. ἐπειδὴ γὰρ καὶ τοῖς παλαιοῖς διηγόρευται νόμοις, καὶ ἡμῖν αὐτοῖς τὰ αὐτὰ διατέτακται, ὥστε τοὺς γάμους καὶ γαμικῶν συμβολαίων χωρὶς ἐκ μόνης ἐρρῶσθαι διαθέσεως, καὶ κυρίους εἶναι· νενοθευμένων ἡμῖν ἐντεῦθεν συναλλαγμάτων ἐπλήσθη τὸ πολίτευμα καὶ πάρεισι μάρτυρες, ἀκινδύνως ψευδόμενοι καὶ ὅτι κυρίαν ἐκάλει τὴν συνοικοῦσαν ὁ ἀνήρ, κἀκείνη τοῦτον ὁμοίως ὠνόμαζε. καὶ οὕτως αὐτοῖς πλάττε-

Universidad Carlos III de Madrid. Biblioteca

συνοικέσια, καὶ μὴ ταῖς ἀληθείαις συστάντα. τοῦτο ᾠήθημεν χρῆναι κατὰ τοὺς φυσικοὺς διορίσαι νόμους. ἴσμεν γὰρ, εἰ καὶ σωφροσύνης ἐσμὲν ἐρασταὶ, καὶ ταῦτα τοῖς ἡμετέροις νομοθετοῦμεν ὑπηκόοις, ἀλλ' οὐδὲν εἶναι μανίας ἐρωτικῆς σφοδρότερον, ἣν ἐπισχεῖν φιλοσοφίας ἐστὶν ἀκριβοῦς, νουθετούσης τε καὶ παιδευούσης καὶ σφαδάζουσαν τὴν ἐπιθυμίαν ἐπεχούσης. ὥστε οἱ τούτῳ κεκρατημένοι, τίνος ἂν ἀπέχοιντο ῥήματος πρὸς τὰς ὧν ἐρῶσιν, ὅπερ αὐταῖς οὐ διὰ κολακείαν προσάγουσι; τοιγαροῦν τοσοῦτον καὶ οἱ πρὸ ἡμῶν νομοθέται τὰς τοιαύτας ἠπίσταντο τῶν ψυχῶν διαθέσεις, ὥστε καὶ τὰς ἐν γάμῳ κωλύουσι δωρεάς, ἵνα μὴ τῇ τῆς ἐπιθυμίας νικηθέντες ὑπερβολῇ, λάθοιεν κατὰ μικρὸν ἑαυτοὺς οἱ συνοικοῦντες τῆς οὐσίας ἀφαιρούμενοι. ταῦτα οὖν σώφρονι νόμῳ διαθεσμοθετῆσαι καλῶς ἔχειν ᾠήθημεν. Ἐπὶ μὲν οὖν τῶν μειζόνων ἀξιωμάτων, καὶ ὅσα μέχρι τῶν ἡμετέρων ἐστὶ συγκλητικῶν, καὶ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων, οὐδὲ γίνεσθαι ταῦτα παντελῶς ἀνεχόμεθα· ἀλλ' ἔστω πάντως καὶ προίξ, καὶ προγαμιαία δωρεά, καὶ τὰ ἄλλα πάντα, ὅσα τοῖς σεμνοτέροις πρέπει τῶν ὀνομάτων. Ὅσοι δὲ ἐν στρατείαις τε σεμνοτέραις καὶ ἐμπορείαις, καὶ ὅλως ἐν ἐπιτηδεύσεσιν ἀξιολογωτέραις εἰσίν, εἰ βούλοιτο νομίμως γυναικὶ συνελθεῖν, καὶ μὴ ποιήσασθαι γάμων συμβόλαια, μὴ οὕτως εἰκῇ καὶ ἀπαραφυλάκτως καὶ ἐκκεχυμένως καὶ ἀναποδείκτως τοῦτο πραττέτω, ἀλλὰ παραγινέσθω πρός τινα τῶν εὐκτηρίων οἴκων, κοινωσάσθω τε τῷ τῆς ἁγιωτάτης ἐκείνης ἐκκλησίας ἐκδίκῳ· ὁ δὲ παραλαβὼν τρεῖς ἢ τέσσαρας τῶν ἐκεῖσε εὐσεβεστάτων κληρικῶν, ἐκμαρτυρίαν συνιστάτω, δηλοῦσαν ὡς ἐπὶ τῆσδε τῆς ἐπινεμήσεως, τοῦδε τοῦ μηνὸς ἄγοντος τόσην ἡμέραν, τῆς βασιλείας ἔτους τόσου, ὑπατείας τοιᾶσδε, ἦλθον παρ' αὐτῷ ἐν τῷδε τῷ εὐκτηρίῳ οἴκῳ ὁ δεῖνα καὶ ἡ δεῖνα, καὶ συνηρμόσθησαν ἀλλήλοις. καὶ τὴν τοιαύτην ἐκμαρτυρίαν εἰ μὲν ἐκλαβεῖν βούλονται ἢ ἀμφότεροι οἱ συνιόντες ἢ καὶ ἕτερος αὐτῶν, καὶ τοῦτο πραττέτωσαν· καὶ ὑπογραφέτωσαν ταύτῃ ὅ, τε τῆς ἁγιωτάτης ἐκκλησίας ἔκδικος καὶ οἱ λοιποὶ τρεῖς, ἢ ὅσους ἂν βουληθείη (οὐκ ἐλάττους μέντοι τῶν τριῶν) γράμματα τοῦτο σημαίνοντα. Εἰ δὲ καὶ τοῦτο μὴ πράξαιεν ἐκεῖνοι, ἀλλὰ τὸν τοιοῦτον ἀποτιθέσθω χάρτην ὁ τῆς σεβασμιωτάτης ἐκκλησίας ἐκείνης ἔκδικος ἐν τοῖς τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἀρχείοις (τουτέστιν ἐν τῷ εὐαγεῖ κειμηλιοφυλακίῳ) τὰς εἰρημένας ὑποσημειώσεις ἔχοντα. ὥστε ἀποκεῖσθαι τοῖς ἀνθρώποις τὴν ἐντεῦθεν ἀσφάλειαν, καὶ μὴ ἄλλως δοκεῖν γαμικῇ διαθέσει τούτους αὐτοὺς συνεληλυθέναι, πλὴν εἰ μὴ τοιοῦτό τι πραχθείη, καὶ ὅλως ἐκ γραμμάτων τὸ πρᾶγμα μαρτυροῖτο. τούτων δὲ οὕτω γινομένων, καὶ τὸν γάμον καὶ τὰς ἐξ αὐτοῦ γονὰς εἶναι νομίμους. ταῦτα δέ φαμεν ἔνθα μὴ προικὸς ἢ προγαμιαίας δωρεᾶς γίνεται συμβόλαιον. τὴν γὰρ ἐκ μόνων μαρτύρων πίστιν ὑποπτεύοντες, ἐπὶ τὴν παροῦσαν ἐληλύθαμεν διατύπωσιν. Τὸ δὲ ὅσον ἐν καταπεφρονημένῳ διάγει βίῳ, μικρᾶς μὲν οὐσίας κύριον καθεστὼς, εἰς ἔσχατον δὲ τοῦ δήμου μέρος ἀποκείμενον, τοῦτο ἐχέτω καὶ τὴν ἐπὶ τούτοις ἄδειαν. ἀλλ' οὐδὲ γεωργοὺς ἢ στρατιώτας ἐνόπλους, οὓς ὁ νόμος καλιγάτους καλεῖ (τουτέστιν εὐτελεστέρους καὶ ἀφανεστέρους) περιεργαζόμεθα, οἷς ἡ τῶν πολιτικῶν πραγμάτων ἀμαθία, καὶ ἡ μόνης τῆς περὶ τὴν γῆν ἐργασίας καὶ περὶ τοὺς πολέμους ἐπιθυμία, πρᾶγμά ἐστι περισπούδαστον, καὶ δικαίως ἐπαινούμενον. ὥστε ἐπί τε τῶν εὐτελῶν προσώπων ἐπί τε στρατιωτῶν ἐνόπλων ἀφανῶν, καὶ γεωργῶν, ἄδεια ἔστω αὐτοῖς καὶ ἀγράφως συνιέναι, καὶ συνοικεῖν ἀλλήλοις. καὶ ἔστωσαν οἱ παῖδες γνήσιοι, τῇ τῶν πατέρων μετριότητι, ἢ στρατιωτικαῖς ἢ γεωργικαῖς ἀσχολίαις τε καὶ ἀγνοίαις βοηθούμενοι. Ἐπειδὴ δὲ ἐκ

Universidad Carlos III de Madrid. Biblioteca

τῶν προσελθουσῶν τῶν γινομένων ἡμῖν ἀεί, συχνότερον δὲ πάντων, γυναικῶν ἀκούομεν, ὀδυρομένων καὶ προσαγγελλουσῶν ὡς τινες προσπαθείᾳ κρατούμενοι πρὸς αὐτὰς, εἶτα ταύτας ἀνάγουσιν οἴκοι, καὶ τῶν θείων ἁπτόμενοι λογίων, ἢ ἐν εὐκτηρίοις οἴκοις ὀμνύντες ἦ μὴν ἕξειν αὐτὰς νομίμους γαμετὰς, οὕτως αὐτὰς οἰκειοῦνται χρόνον πολὺν, καὶ παιδοποιοῦσιν ἴσως· εἶτα ἐπειδὰν ἐμπλησθεῖεν τῆς αὐτῶν ἐπιθυμίας, ἢ τῶν παίδων χωρὶς, ἢ μετὰ τῶν παίδων, ἀπορρίπτουσι τῶν οἴκων· ἐκρίναμεν καὶ τοῦτο χρῆναι θεραπεῦσαι, καὶ, εἴπερ ἡ γυνὴ δεῖξαι δυνηθείη τρόποις νομίμοις ὅτι κατὰ τοῦτο τὸ σχῆμα ὁ ἀνὴρ ταύτην ἔλαβεν οἴκοι, ἐπὶ τῷ γυναῖκα γνησίαν ἔχειν, καὶ παίδων γνησίων μητέρα, μηκέτι παντελῶς ἄδειαν αὐτῷ καθεστάναι ταύτην παρὰ τὴν τοῦ νόμου τάξιν ἐξωθεῖν τῆς οἰκίας, ἀλλ' ἔχειν γνησίαν, καὶ τοὺς παῖδας γνησίους αὐτῷ καθεστάναι. καὶ ἐκείνην μὲν, εἴπερ ἄπροικος εἴη, τῶν ἐκ τῆς ἡμετέρας διατάξεως ἀπολαύειν ἀγαθῶν, τὸ τέταρτον τῆς περιουσίας τοῦ ἀνδρὸς λαμβάνουσαν, εἴτε ἐξωθείη, εἴτε καὶ προαποβάλοι τὸν ἄνδρα· οὐ περιεργαζομένων ἡμῶν εἴτε δικαίως χρησάμενος ἀποπέμψοι ταύτην, εἴτε καὶ τούτου χωρίς. οὐδὲ γὰρ εἰκὸς αὐτὸν πέμψαι ταύτῃ ῥεπούδιον, τόν γε αὐτὸν τὸν γάμον ἐξαρνούμενον. ἀλλ' εἴπερ ταύτην ἀλόγως ἐκβάλοι τῆς οἰκίας, αὐτὸ τοῦτο ἔστω κατὰ τοῦ ἀνδρὸς αἰτία, καὶ ἡ γυνὴ, τούτου γεγονότος, ῥεπούδιόν τε αὐτῷ στελλέτω, καὶ ἀπαιτείτω τὸ τέταρτον, εἰ δὴ ἐξωθείη γαμετὴ καθεστῶσα· κἂν εἰ προικὸς χωρὶς συνῆλθε, τοῖς ὅρκοις πιστεύσασα. τί γὰρ ἂν πράξειεν ἄλλο ἢ προῖκα οὐκ εὐποροῦσα, ἢ τὸ ἑαυτὴν ἀντὶ πάσης ἐπιδοῦναι προικός; ἔστω δὲ καὶ ἡ γονὴ γνησία καὶ ἄκοντος τοῦ πατρός. ὁ γὰρ ἐπὶ τούτῳ γήμας τε καὶ παιδοποιησάμενος ἐφ' ᾧ γνησίων αὐτῷ παίδων τὴν γυναῖκα γενέσθαι μητέρα, οὐκ ἂν γένοιτο δυνατὸς τοὺς ἐκ τῶν τοιούτων τεχθέντας γάμων αὖθις εἰς νοθείαν ἐκβαλεῖν, οὐδὲ τινας ὕστερον ἴσως γάμους, μετὰ τὴν τελευτὴν τῆς γαμετῆς ἢ τὸ ῥεπούδιον, συναλλάττων, τοὺς ἐξ ἐκείνων βούλεσθαι τῶν γάμων μόνους εἶναι γνησίους, ἀλλὰ μὴ καὶ τοὺς ἔμπροσθεν. συζευχθεῖεν γὰρ ἂν καὶ οὗτοι τοῖς δευτέροις, καὶ ἔσται πάντως ὁμοίως πατὴρ, μαρτύρων ὄντος τῶν γάμων, τοῖς μὲν προτέροις θεοῦ, τοῖς δὲ δευτέροις τοῦ νόμου. Οὗτος ἡμῖν ὁ νόμος ὑπὲρ ἀσφαλείας κείσθω τῶν γάμοις συμβαλλόντων. καὶ οἱ παῖδες εἰ μὲν ἐκ τοιούτων προέλθοιεν γονέων, ἔσονται γνήσιοι, καὶ τῶν ἐπὶ τοῖς γνησίοις κειμένων ἀπολαύσουσι νόμων· εἰ δὲ παρὰ ταῦτα γένοιτο, μὴ μέντοι ἐκ καταδεδικασμένης προέλθοιεν συναφείας, ἔσονται νόθοι· καὶ τῶν παρ' ἡμῶν φιλοτιμηθέντων τοῖς νόθοις, εἴτε ἐκ διαθήκης, εἴτε ἐξ ἀδιαθέτου, τεύξονται. τοὺς γὰρ ἀπὸ τῶν καθάπαξ παρ' ἡμῶν μεμισημένων τε καὶ διὰ τοῦτο κεκωλυμένων γάμων προϊόντας, οὐδὲ νόθους κλητέον, οὐδὲ μεταδοτέον αὐτοῖς οὐδεμιᾶς φιλανθρωπίας· ἀλλ' ἔστω καὶ τοῦτο τιμωρία τῶν πατέρων, τὸ γινώσκειν ὡς οὐδὲ ὁποιουοῦν οἱ τῆς ἁμαρτανούσης ἐπιθυμίας αὐτῶν ἕξουσι παῖδες. Τὰ παραστάντα τοίνυν ἡμῖν, καὶ εἰς ἀνθρώπων θεραπείαν καὶ τῆς φύσεως ἀναπλήρωσιν διὰ τοῦδε τοῦ νόμου διορισθέντα, ἡ σὴ ὑπεροχὴ φανερὰ πᾶσι ποιησάτω, προγραμμάτων τιθεμένων, δι' ὧν ἅπασιν ὁ νόμος ἔσται σαφὴς, γινώσκουσι καθ' ὃν περὶ τῶν τοιούτων πολιτεύσονται τρόπον· καὶ τὴν ἡμετέραν ἐννοοῦσι πρόνοιαν, ὅτι πάσης ἀσχολίας ἑτέρας τὴν αὐτῶν ὠφέλειαν προτίθεμεν. DAT. NON. IVN. CONST. IMP. DN. IVST. PP. AVG. ANN. XV. IOHANNE V.C. CONS. IND. τοῦ θ μ̄ ω̄ ἔτους.

Universidad Carlos III de Madrid. Biblioteca

## Περὶ τῶν ἐκκλήτων Σικελίας. Διάταξις οε.

Οὐχ εὑρέθη ἀλλ' ὁ ἐκ τῆς οε διατάξεως.

Τὰς Σικελίας ἐκκλήτους δεχέσθω ὁ κυαίστωρ. καὶ τοῦ τῶν ἐκδίκων, καὶ τῆς τῶν πατέρων αὐτῆς παραπλέτω ψηφίσματα. * * *

* * * * * * * * * * *

## Η διάταξις ἑρμηνεύει τὴν προτέραν διάταξιν τὴν περὶ τῶν εἰσιόντων εἰς τὰ μοναστήρια, καὶ τὰς οὐσίας αὐτῶν καθιερούντων, ἐκ ποίου χρόνου δεῖ αὐτὴν κρατεῖν. Διάταξις ος.

Ο ΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ͂ Τ. Ω. ΕΝδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, καὶ πατρικίῳ.

ΠΡΑΓΜΑ τοιοῦτον εἰς ἡμᾶς ἀφίκετο, ὅπερ οἰόμεθα χρῆναι τῆς προσηκούσης ἀπολαῦσαι παρ' ἡμῶν ἑρμηνείας τε ἅμα καὶ βοηθείας. ἐγνώσθη γὰρ ὡς γυνή τις ἔχουσα παῖδα ἐκ γάμων αὐτῇ γενόμενον νομίμων, ἠβουλήθη χωρίσαι μὲν ἑαυτὴν τῆς κοινῆς ταύτης διαίτης, ἐν δέ τινι γυναικείῳ ἀσκητηρίῳ καταμεῖναι, πολλὰ δὴ εἰς τὰς ἐκεῖσε συνηγμένας εὐλαβεστάτας γυναῖκας ἀγαθὰ ποιησαμένη. καὶ ἐπειδὴ παρὰ τῆς ἡμετέρας εὐσεβείας βούλεται νόμος τοὺς εἰς ἀσκητήριον ἑαυτοὺς καθιεροῦντας, ἢ ἄνδρας ἢ γυναῖκας, πρὸ τῆς εἰς μοναστήριον εἰσόδου διατιθέναι τὰ οἰκεῖα καθ' ὃν βούλονται τρόπον, μὴ δύνασθαι δέ, μετὰ τὴν εἴσοδον τὴν εἰς τὸ ἀσκητήριον, ἔτι πράττειν τι περὶ τῶν οἰκείων, οἷα κυρίους οὐκ ἔτι τυγχάνοντας τῶν πραγμάτων (διὰ τὸ νομοθετῆσαι ἡμᾶς, τοὺς τοιούτους ἄνδρας τε καὶ γυναῖκας μετὰ τοῦ σώματος καὶ τῆς ψυχῆς, αὐτῇ τῇ εἰσόδῳ τῇ κατὰ τὸ μοναστήριον, καθιεροῦν ἑαυτοὺς καὶ τὰς ἑαυτῶν περιουσίας ἐν τῷ μοναστηρίῳ διότι κύριοι τούτων οὐκ ἔτι καθεστᾶσι) καὶ ἐντεῦθεν δεδιέναι μή ποτε (καίτοι τῆς ἡμετέρας διατάξεως πολλῷ μεταγενεστέρας οὔσης τῆς εἰς τὸν εἰρημένον εὐαγῆ οἶκον αὐτῆς εἰσόδου) τινὲς ἀποστερήσαιεν αὐτὴν τοῦ προσοικείου προνοήσασθαι παιδός· χρῆναί τε τὸ εἰρημένον δέος ταύτῃ ἑρμηνεῦσαι, καὶ νόμῳ ἡμετέρῳ γενέσθαι σαφὲς ὡς οὐδὲν βλάπτεται ἢ αὐτή, ἢ ὁ παῖς περὶ τὴν αὐτῆς διαδοχήν, ἐκ τῆς εἰρημένης διατάξεως. Διὰ τοῦτο θεσπίζομεν, εἴ τις μοναστήριον ᾤκησεν ἀνὴρ ἢ γυνή, πρὸ τῆς ῥηθείσης ἡμῶν διατάξεως, ἢ καὶ μέλλει νῦν οἰκεῖν, καὶ μάλιστα παίδων ὑπόντων· μηδεμίαν ἔχειν ἀνάγκην νῦν τὴν αὐτῶν περιουσίαν εἰσάγειν εἰς τὸ μοναστήριον, ἀλλὰ τῷ παιδὶ ἢ τοῖς παισὶ διαπέμπειν εἴτε τὸ πᾶν, εἴτε καὶ μέρος τῆς οἰκείας περιουσίας, ἢ καὶ οἷ βούλονται τρόπον τὰ οἰκεῖα διατιθέναι πράγματα. οἷα τὸν πρότερον ἐκεῖνον νόμον ἑτέρα ἡμῶν ταύτῃ διατάξει διερμηνευόντων (τοὺς γὰρ ἅπαξ πρὸ τοῦ εἰρημένου ἔμπροσθεν ἡμῶν νόμου μοναστήρια κατοικήσαντας οὐδὲν ἂν ὁ μετὰ ταῦτα τεθεὶς νόμος λυπήσειεν, ἢ ἀφέλοιτό τι τῶν ἔμπροσθεν αὐτοῖς εἰς ἄδειαν δεδομένων) οὐδὲ τοῦ προτέρου ἡμετέρου νόμου παντελῶς ἐμποδὼν ἱσταμένου· διότι οὐδὲ τῶν ἐγχωρησάντων δεῖ τοῦτο γενέσθαι. ἐχρῆν γὰρ πρότερον διατάξασθαι, καὶ οὕτως εἰσελθεῖν εἰς τὸ μοναστήριον. εἰ δὲ οὐδενὸς ποτε τοιούτου νόμου κειμένου, εἰς τὸ μοναστήριον εἰσῆλθε, πῶς ἂν γένοιτο δυνατὸν ἀναστραφῆναι τὴν τάξιν τοῦ νόμου, καὶ ἀπαιτῆσαι, τοὺς πρότερον εἰσελθόντας ἐν τῷ

Universidad Carlos III de Madrid. Biblioteca

μοναστηρίῳ, ἐκ ξένα ποιῆσαι ἅπερ πρότερον ἀγνοοῦμεν, παρὰ τῆς θείας ἡμῶν ὑπερ ἐκαινίσθη διατάξεως. ἀλλ' ἕκαστον προσήκει κατὰ τοὺς ἑαυτοῦ καιροὺς ἐκδέξασθαι, καὶ τὰ μὲν μετὰ τὸν νόμον οὕτως ζητεῖν γίνεσθαι ὡς ὁ νόμος βούλεται· εἰ δέ τι πρὸ τοῦ νόμου παρηκολούθησε, τοῦτο μὴ ἀνακινεῖν, μηδὲ ἀνερευνᾶν, ἀλλ' ἐπὶ τοῦ προτέρου καταλιμπάνειν σχήματος. Ὁ δὲ τοίνυν ὁ νόμος ἐπὶ ἑρμηνείᾳ χρηστῇ κείσθω τῆς προτέρας ἡμῶν ἐκείνης διατάξεως, ὥστε αὐτὴν ἐν τοῖς μετ' αὐτὴν χρόνοις ἀφ' οὗ γέγονεν, χώραν ἔχειν, καὶ τοῖς μετ' αὐτὴν ἀποταττομένοις ἀνδράσιν ἢ γυναιξὶ κεῖσθαι. Καὶ ἑαυτῇ τὴν ἐξουσίαν ἐπ' ἐκείνοις φυλαττέτω, μηδὲν τῶν πρὸ αὐτῆς πολυπραγμονοῦσα· ἀδείας οὔσης τοῖς ἔμπροσθεν ἀνδράσιν ἢ γυναιξὶ κατοικήσασιν ἢ μέχρι νῦν οἰκοῦσι μοναστήρια, καὶ μάλιστα παίδων ὑπόντων, τὰ ἑαυτῶν πράγματα ὃν βούλονται διατιθέναι τρόπον. Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν, καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου, κατὰ τὸ σύνηθες διὰ προγραμμάτων οἰκείων ἅπασι ποιῆσαι φανερὰ σπευσάτω. D. A T. I D. O C T O B. I M P. D N. I V S T. P P. A V G. A N N. X I. I O H A N N E V. C. C O N S. I N D. I I.

## Ἡ διάταξις περὶ τοῦ τοὺς ὀμνύοντας κατὰ τοῦ θεοῦ καὶ τοὺς βλασφημοῦντας τιμωρεῖσθαι. Διάταξις οζ.

ΠΑΣΙΝ ἀνθρώποις τοῖς εὖ φρονοῦσι πρόδηλον εἶναι νομίζομεν ὅτι πᾶσα ἡμῖν ἐστι σπουδὴ καὶ εὐχή, τὸ τοὺς πιστευθέντας ἡμῖν παρὰ τοῦ δεσπότου θεοῦ, καλῶς βιοῦν, καὶ τὴν αὐτοῦ εὑρεῖν εὐμένειαν· ἐπεὶ καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία οὐ τὴν ἀπώλειαν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν σωτηρίαν βούλεται, καὶ τοὺς πταίσαντας καὶ διορθουμένους δέχεται ὁ θεός. διὸ πάντας προτρεπόμεθα, τὸν τοῦ θεοῦ φόβον κατὰ νοῦν λαμβάνειν, καὶ τὴν αὐτοῦ εὐμένειαν ἐπικαλεῖσθαι. καὶ ἴσμεν ὅτι πάντες οἱ τὸν θεὸν ἀγαπῶντες, καὶ τὸν αὐτοῦ ἔλεον περιμένοντες, τοῦτο ποιοῦσιν. Ἐπειδὴ δέ τινες ὑπὸ τῆς διαβολικῆς ἐνεργείας συνεχόμενοι, καὶ ταῖς βαρυτέραις ἀσελγείαις ἑαυτοὺς ἐνέβαλον, καὶ αὐτῆς τῆς φύσεως τἀναντία πράττουσι· καὶ τούτοις παρεγγυῶμεν λαβεῖν κατὰ νοῦν τὸν τοῦ θεοῦ φόβον καὶ τὴν μέλλουσαν κρίσιν, καὶ ἀπέχεσθαι τῶν τοιούτων διαβολικῶν καὶ ἀτόπων ἀσελγειῶν· ἵνα μὴ διὰ τῶν τοιούτων ἀσεβῶν πράξεων ὑπὸ τῆς τοῦ θεοῦ δικαίας ὀργῆς εὑρεθῶσι καὶ αἱ πόλεις μετὰ τῶν οἰκούντων ἐν αὐταῖς ἀπολλύμεναι. διδασκόμεθα γὰρ διὰ τῶν ἁγίων γραφῶν ὅτι ἐκ τῶν τοιούτων ἀσεβῶν πράξεων καὶ πόλεις τοῖς ἀνθρώποις συναπώλοντο. Ἐπειδὴ δέ τινες, πρὸς τοῖς εἰρημένοις, καὶ βλάσφημα ῥήματα καὶ ὅρκους περὶ θεοῦ ὀμνύουσι, τὸν θεὸν παροργίζοντες· καὶ τούτοις ὁμοίως παρεγγυῶμεν ἀπέχεσθαι τῶν τοιούτων βλασφήμων ῥημάτων, καὶ τοῦ ὀμνύναι κατὰ τριχός τε καὶ κεφαλῆς, καὶ τῶν τούτοις παραπλησίων ῥημάτων. εἰ γὰρ αἱ κατ' ἀνθρώπων γινόμεναι βλασφημίαι, ἀνεκδίκητοι οὐ καταλιμπάνονται, πολλῷ μᾶλλον ὁ εἰς αὐτὸ τὸ θεῖον βλασφημῶν, ἄξιός ἐστι τιμωρίας ὑποστῆναι. διὰ τοῦτο οὖν πάντας τοὺς τοιούτους προτρεπόμεθα, ἐκ τῶν εἰρημένων πλημμελημάτων ἀποσχέσθαι, καὶ τὸν τοῦ θεοῦ φόβον κατὰ νοῦν λαμβάνειν, καὶ ἀκολουθεῖν τοῖς καλῶς βιοῦσι. διὰ γὰρ τὰ τοιαῦτα πλημμελήματα καὶ λιμοὶ καὶ σεισμοὶ καὶ λοιμοὶ γίνονται. καὶ διὰ τοῦτο παραινοῦμεν τοῖς τοιούτοις ἀπέχεσθαι τῶν εἰρημένων ἀτοπημάτων, ὥστε μὴ τὰς αὐτῶν ἀπολέσαι ψυχάς. εἰ γὰρ καὶ μετὰ τὴν τοιαύτην ἡμῶν

Universidad Carlos III de Madrid. Biblioteca

νομοθεσίαν εὑρεθῶσί τινες ἐν τοῖς αὐτοῖς ἐπιμένοντες πλημμελήμασι, πρότερον μὲν ἀναξίους ἑαυτοὺς ποιοῦσι τῆς τοῦ θεοῦ φιλανθρωπίας, ἔπειτα δὲ καὶ ταῖς ἐκ τῶν νόμων ὑποστήσονται τιμωρίαις. ἐπετρέψαμεν γὰρ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς βασιλίδος πόλεως, τοὺς ἐπιμένοντας ταῖς εἰρημέναις ἀτόποις καὶ ἀσεβέσι πράξεσι καὶ μετὰ ταύτην ἡμῶν τὴν νομοθεσίαν, συνέχειν, καὶ ταῖς ἐσχάταις ὑποβάλλειν τιμωρίαις· ἵνα μὴ ἐκ τοῦ παραβλέπειν τὰς τοιαύτας ἁμαρτίας, εὑρεθῇ καὶ ἡ πόλις καὶ ἡ πολιτεία διὰ τῶν τοιούτων ἀσεβῶν πράξεων ἀδικουμένη. εἰ γὰρ καὶ μετὰ ταύτην ἡμῶν τὴν παραίνεσιν, τινὲς τοὺς τοιούτους εὑρίσκοντες, συγκρύψωσιν αὐτούς, ὁμοίως παρὰ τοῦ δεσπότου θεοῦ κατακριθήσονται. καὶ αὐτὸς γὰρ ὁ ἐνδοξότατος ἔπαρχος ἐὰν εὕρῃ τινὰς τοιοῦτό τι πλημμελοῦντας, καὶ τὴν ἐκδίκησιν εἰς αὐτοὺς μὴ ἐπαγάγῃ κατὰ τοὺς ἡμετέρους νόμους, πρότερον μὲν ἔνοχος ἔσται τῇ τοῦ θεοῦ κρίσει, ἔπειτα δὲ καὶ τὴν ἐξ ἡμῶν ἀγανάκτησιν ὑποστήσεται.

Ὥστε τοὺς ἀπελευθέρους τοῦ λοιποῦ μὴ δεῖσθαι δικαίου χρυσῶν δακτυλίων, καὶ παλιγγενεσίας. καὶ ὥστε τὴν ποίησιν τῶν προικώων συμβολαίων ἐπὶ τῶν ἀπελευθέρων γυναικῶν, αὐτόθεν ἤδη καὶ τὸν γάμον νόμιμον ποιεῖν καὶ τοὺς παῖδας γνησίους. εἰ δὲ καὶ δούλη ἐτύγχανε, καὶ αὐτὴν ἐλευθέραν εἶναι τῇ ποιήσει τῆς προικός, καὶ τὸν γάμον νόμιμον, καὶ τοὺς ἐξ αὐτῆς, γνησίους. Διάταξις οη.

ΟΑΥΤΟΣ ΒΑΣΙΛΕΥΣ ΙΩΑΝΝΗ ΤΩ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων, τὸ δεύτερον ἀπὸ ὑπάτων, ὀρδιναρίῳ, καὶ πατρικίῳ.

ΤΕΛΕΙΩΝ ἡμῖν ἁπάντων τῶν ἀγαθῶν παρὰ τοῦ μεγάλου θεοῦ δεδομένων, ᾠήθημεν χρῆναι καὶ αὐτοὶ τὰς τῶν οἰκετῶν ἐλευθερίας (ἐπειδήπερ παρὰ τῶν δεσποτῶν τῆς προτέρας ἀπαλλάττοιντο τύχης) παντοίως αὐτοῖς καθαράς τε καὶ ἀνοθεύτους καὶ τελείας ἀποτελέσαι. καὶ διὰ τοῦτο καὶ τῆς τῶν dedititiorum ὕβρεως τὰς ἐλευθερίας ἀπηλλάξαμεν, καὶ τὰς λατινότητας ὡς ἀτελεῖς ἐξεβάλομεν, καὶ τὰς iterationας περιττὰς ἀπεφήναμεν, καὶ τὸν Ἰούνιον νόμον καὶ τὸ Largitianion ἐμισήσαμεν δόγμα, ὡς μάτην καὶ τὴν ἀρχὴν εἰσαχθέν, καὶ ὀρθῶς ὕστερον ἐκβεβλημένον. καὶ μόνην κρατεῖν τὴν Ῥωμαϊκὴν πολιτείαν ἐπὶ τῶν ἐλευθερουμένων ἠβουλήθημεν, οὐ τόποις, οὐχ ἡλικίαις, οὐχ ἑτέρῳ τινὶ τὸ πρᾶγμα διακρίναντες. ἐπειδὴ δὲ ἀεὶ τὸ κρεῖττον περὶ τῶν ἡμετέρων ὑπηκόων βουλευόμενοι, καὶ αὐτὸ τὸ τελεώτερον δεδομένον μείζοσιν ᾠήθημεν δεῖν ταῖς προσθήκαις αὐξῆσαι· διὰ τοῦτο θεσπίζομεν, εἴ τις ἐλευθερώσας οἰκέτην ἢ θεράπαιναν αὐτοῦ, πολίτας αὐτοὺς ἀποφήνειε Ῥωμαίους (οὐδὲ γὰρ ἄλλως ἔξεστιν) ἴστω παρὰ τοῦδε τοῦ νόμου ὡς ὁ τὴν ἐλευθερίαν λαβών, ἕξει παρεπόμενον εὐθὺς καὶ τὸ τῶν χρυσῶν δακτυλίων καὶ τὸ τῆς παλιγγενεσίας δίκαιον, καὶ οὐκ ἐξ ἀνάγκης αἰτήσει τοῦτο παρὰ τῆς βασιλείας ἔτι, οὐδὲ δεήσεται παντελῶς οὐδεμιᾶς πολυπραγμοσύνης· ἀλλὰ τῇ τῆς ἐλευθερίας ἰσχύι πάντα ταῦτα συνεισελεύσεται, τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐκ τῆς παρούσης ἡμέρας ἀρχομένης.

Universidad Carlos III de Madrid. Biblioteca